FONTES HISTORIAE RELIGIONUM
X AUCTORIBUS GRAECIS ET LATINIS COLLECTOS
DIIS SOCIETATIS RHENANAE PROMOVENDIS LITTERIS
EDIDIT CAROLUS CLEMEN
FASCICULUS I

FONTES HISTORIAE RELIGIONIS PERSICAE

COLLEGIT

CAROLUS CLEMEN

BONNAE
IN AEDIBUS A. MARCI ET E. WEBERI
1920

FONTES HISTORIAE RELIGIONUM
EX AUCTORIBUS GRAECIS ET LATINIS COLLECTOS
3SIDIIS SOCIETATIS RHENANAE PROMOVENDIS LITTERIS
EDIDIT CAROLUS CLEMEN
FASCICULUS I

ITES HISTORIAE RELIGIONIS PERSICAE

COLLEGIT

CAROLUS CLEMEN

BONNAE
IN AEDIBUS A. MARCI ET E. WEBERI
1920

PRAEFATIO.

In collectione, cuius fasciculus primus nunc in lucem prodit, omnes locos, qui aliquo modo ad historiam religionum pertinent, ex auctoribus Graecis et Latinis excerpere et componere in animo habemus, iis tamen auctoribus, qui medio aevo exeunte floruerunt nec sui momenti sunt, et inscriptionibus papyrisque seclusis. Scriptorum verba secundum optimas editiones exhibebuntur; in apparatu critico eae tantum variae lectiones sive ex editionibus sive aliunde promptae afferentur, quae ad sensum interpretandum aut ad nominum formam statuendam aliquid lucis praebent, necnon eae, quae in codicibus manuscriptis non servatae in contextum receptae sunt. Auctores secundum tempus, quo quisque opera conscripsit, aut, si hoc non innotuit, quo floruit, disponentur; ii, qui ad certam aetatem revocari nequeunt, eo loco, quo primum eos memorare licet, et ante omnes scriptores, qui eodem tempore ineunte fuerunt, inserentur; ii, qui ab aliis laudantur, nisi ipsa eorum verba servata sunt, seorsum non afferentur. Indicem alphabeticum omnium auctorum excerptorum in calce uniuscuiusque fasciculi subiungemus. Hic quos composui locos omnes, ipse in libello: *Die griechischen und lateinischen Nachrichten über die persische Religion* interpretatus sum, qui propediem in corpore librorum: *Religionsgeschichtliche Versuche und Vorarbeiten* publici iuris fiet.

CAROLUS CLEMEN.

Xanthus

(sub Artaxerxe I. et ante Herodotum scripsit)

apud. Clem. Alex., strom. (ed. Stählin) III, 11, 1: Ξάνθος . . . ἐν τοῖς ἐπιγραφομένοις Μαγικοῖς „μίγνυνται δὲ“ φησὶν „οἱ μάγοι μητράσι καὶ θυγατράσι καὶ ἀδελφαῖς μίγνυσθαι θεμιτὸν εἶναι κοινάς τε εἶναι τὰς γυναῖκας οὐ βίᾳ καὶ λάθρᾳ, ἀλλὰ συναινούντων ἀμφοτέρων, ὅταν θέλῃ γῆμαι ὁ ἕτερος τὴν τοῦ ἑτέρου.“

Vid. etiam sub Diogene Laertio.

Herodotus

(c. 484 — 425 vixit)

hist. (ed. Hude) I, 86: οἱ . . . Πέρσαι τάς τε δὴ Σάρδις ἔσχον καὶ αὐτὸν Κροῖσον ἐζώγρησαν . . . λαβόντες δὲ αὐτὸν οἱ Πέρσαι ἤγαγον παρὰ Κῦρον. ὁ δὲ συννήσας πυρὴν μεγάλην ἀνεβίβασε ἐπ᾽ αὐτὴν τὸν Κροῖσόν τε ἐν πέδῃσι δεδεμένον καὶ δὶς ἑπτὰ Λυδῶν παρ' αὐτὸν παῖδας, ἐν νόῳ ἔχων εἴτε δὴ ἀκροθίνια ταῦτα καταγιεῖν θεῶν ὅτεῳ δή, εἴτε καὶ εὐχὴν ἐπιτελέσαι θέλων, εἴτε καὶ πυθόμενος τὸν Κροῖσον εἶναι θεοσεβέα τοῦδε εἵνεκεν ἀνεβίβασε ἐπὶ τὴν πυρήν, βουλόμενος εἰδέναι εἴ τίς μιν δαιμόνων ῥύσεται τοῦ μὴ ζῶντα κατακαυθῆναι κτλ.

ib. 101: ἔστι . . . Μήδων τοσάδε γένεα, Βοῦσαι, Παρητακηνοί, Στρούχατες, Ἀριζαντοί, Βούδιοι, Μάγοι.

ib. 107: ἐκδέκεται . . . . Ἀστυάγης ὁ Κυαξάρεω παῖς τὴν βασιληΐην. καί οἱ ἐγένετο θυγάτηρ τῇ οὔνομα ἔθετο Μανδάνην, τὴν ἐδόκεε Ἀστυάγης ἐν τῷ ὕπνῳ οὐρῆσαι τοσοῦτον ὥστε πλῆσαι μὲν τὴν ἑωυτοῦ πόλιν, ἐπικατακλύσαι δὲ καὶ τὴν Ἀσίην πᾶσαν. ὑπερθέμενος δὲ τῶν μάγων τοῖσι ὀνειροπόλοισι τὸ ἐνύπνιον, ἐφοβήθη παρ' αὐτῶν αὐτὰ ἕκαστα μαθών.

2 μίγνυνται] ἀποφαίνονται Schwartz ἡγοῦνται Stählin 17 Βοῦσαι B (Romanus Angel. August.) Steph. Byz. s. v. Βουσαῖ A (Laurentianus LXX, 3) C (Laur. conv. suppr. 207) P(arisinus 1633) Βουσαί R (Vaticanus 123) S(ancroftianus) V(indobonensis) 18 Παρηκοντακηνοί SV Βούδειοι Steph. s. v. 23 ὑπερθέμενος Schaefer ὑποθ. L (= ABC (E[xcerpta Parisina]) PRSV (U[rbinas 88]))

ib. 108: συνοικεούσης . . . τῷ Καμβύσῃ τῆς Μανδάνης ὁ Ἀστυάγης τῷ πρώτῳ ἔτεϊ εἶδε ἄλλην ὄψιν· ἐδόκεέ οἱ ἐκ τῶν αἰδοίων τῆς θυγατρὸς ταύτης φῦναι ἄμπελον, τὴν δὲ ἄμπελον ἐπισχεῖν τὴν Ἀσίην πᾶσαν. ἰδὼν δὲ τοῦτο καὶ ὑπερθέμενος τοῖσι ὀνειροπόλοισι μετεπέμψατο ἐκ τῶν Περσέων τὴν θυγατέρα ἐπίτοκα ἐοῦσαν, ἀπικομένην δὲ ἐφύλασσε βουλόμενος τὸ γεννώμενον ἐξ αὐτῆς διαφθεῖραι· ἐκ γάρ οἱ τῆς ὄψιος τῶν μάγων οἱ ὀνειροπόλοι ἐσήμαινον ὅτι μέλλοι ὁ τῆς θυγατρὸς αὐτοῦ γόνος βασιλεύσειν ἀντὶ ἐκείνου.

ib. 120: Ἀστυάγης . . . Κύρου . . . πέρι βουλεύων ἐκάλεε τοὺς αὐτοὺς τῶν μάγων οἳ τὸ ἐνύπνιόν οἱ ταύτῃ ἔκριναν. ἀπικομένους δὲ εἴρετο ὁ Ἀστυάγης τῇ ἔκρινάν οἱ τὴν ὄψιν. οἱ δὲ κατὰ ταὐτὰ εἶπαν, λέγοντες ὡς βασιλεῦσαι χρῆν τὸν παῖδα, εἰ ἐπέζωσε καὶ μὴ ἀπέθανε πρότερον. ὁ δὲ ἀμείβεται αὐτοὺς τοισίδε· Ἔστι τε ὁ παῖς καὶ περίεστι, καί μιν ἐπ' ἀγροῦ διαιτώμενον οἱ ἐκ τῆς κώμης παῖδες ἐστήσαντο βασιλέα. ὁ δὲ πάντα ὅσα περ οἱ ἀληθέϊ λόγῳ βασιλέες ἐτελέωσε ποιήσας· καὶ γὰρ δορυφόρους καὶ θυρωροὺς καὶ ἀγγελιηφόρους καὶ τὰ λοιπὰ πάντα διατάξας ἦρχε. καὶ νῦν ἐς τί ὑμῖν ταῦτα φαίνεται φέρειν; εἶπαν οἱ μάγοι· Εἰ μὲν περίεστί τε καὶ ἐβασίλευσε ὁ παῖς μὴ ἐκ προνοίης τινός, θάρσει τε τούτου εἵνεκα καὶ θυμὸν ἔχε ἀγαθόν· οὐ γὰρ ἔτι τὸ δεύτερον ἄρξει παρὰ σμικρὰ γὰρ καὶ τῶν λογίων ἡμῖν ἔνια κεχώρηκε, καὶ τά γε τῶν ὀνειράτων ἐχόμενα τελέως ἐς ἀσθενὲς ἔρχεται. ἀμείβεται ὁ Ἀστυάγης τοισίδε· Καὶ αὐτός, ὦ μάγοι, ταύτῃ πλεῖστος γνώμην εἰμί, βασιλέος ὀνομασθέντος τοῦ παιδὸς ἐξήκειν τε τὸν ὄνειρον καί μοι τὸν παῖδα τοῦτον εἶναι δεινὸν ἔτι οὐδέν. ὅμως γε μέντοι συμβουλεύσατέ μοι εὖ περισκεψάμενοι, τὰ μέλλει ἀσφαλέστατα εἶναι οἴκῳ τε τῷ ἐμῷ καὶ ὑμῖν. εἶπαν πρὸς ταῦτα οἱ μάγοι· Ὦ βασιλεῦ, καὶ αὐτοῖσι ἡμῖν περὶ πολλοῦ ἐστι κατορθοῦσθαι ἀρχὴν τὴν σήν. κείνως μὲν γὰρ ἀλλοτριοῦται ἐς τὸν παῖδα τοῦτον περιιοῦσα ἐόντα Πέρσην, καὶ ἡμεῖς ἐόντες Μῆδοι δουλούμεθά τε καὶ λόγου οὐδενὸς γινόμεθα πρὸς Περσέων, ἐόντες ξεῖνοι· σέο δ' ἐνεστεῶτος βασιλέος, ἐόντος πολιήτεω, καὶ ἄρχομεν τὸ μέρος καὶ τιμὰς πρὸς σέο μεγάλας ἔχομεν. οὕτω ὦν πάντως ἡμῖν σέο τε καὶ τῆς σῆς ἀρχῆς προοπτέον ἐστί.

ib. 128: Ἀστυάγης . . . τῶν μάγων τοὺς ὀνειροπόλους, οἵ μιν ἀνέγνωσαν μετεῖναι τὸν Κῦρον, τούτους ἀνεσκολόπισε.

11 ἐκάλεσε B* ἐκέλευε RSV 25 ἡμῶν RSV

ib. 131: Πέρσας . . οἶδα νόμοισι τοιοισίδε χρεωμένους, ἀγάλματα μὲν καὶ νηοὺς καὶ βωμοὺς οὐκ ἐν νόμῳ ποιευμένους ἱδρύεσθαι, ἀλλὰ καὶ τοῖσι ποιεῦσι μωρίην ἐπιφέρουσι, ὡς μὲν ἐμοὶ δοκέειν, ὅτι οὐκ ἀνθρωποφυέας ἐνόμισαν τοὺς θεοὺς κατά περ οἱ Ἕλληνες εἶναι. οἱ δὲ νομίζουσι Διὶ μὲν ἐπὶ τὰ ὑψηλότατα τῶν ὀρέων ἀναβαίνοντες θυσίας ἔρδειν, τὸν κύκλον πάντα τοῦ οὐρανοῦ Δία καλέοντες. θύουσι δὲ ἡλίῳ τε καὶ σελήνῃ καὶ γῇ καὶ πυρὶ καὶ ὕδατι καὶ ἀνέμοισι. τούτοισι μὲν δὴ θύουσι μούνοισι ἀρχῆθεν, ἐπιμεμαθήκασι δὲ καὶ τῇ Οὐρανίῃ θύειν, παρά τε Ἀσσυρίων μαθόντες καὶ Ἀραβίων. καλέουσι δὲ Ἀσσύριοι τὴν Ἀφροδίτην Μύλιττα, Ἄραβιοι δὲ Ἀλιλάτ, Πέρσαι δὲ Μίτραν.

ib. 132: θυσίη δὲ τοῖσι Πέρσῃσι περὶ τοὺς εἰρημένους θεοὺς ἥδε κατέστηκε. οὔτε βωμοὺς ποιεῦνται οὔτε πῦρ ἀνακαίουσι μέλλοντες θύειν· οὐ σπονδῇ χρέωνται, οὐκὶ αὐλῷ, οὐ στέμμασι, οὐκὶ οὐλῇσι. τῶν δὲ ὡς ἑκάστῳ θύειν θέλῃ, ἐς χῶρον καθαρὸν ἀγαγὼν τὸ κτῆνος καλέει τὸν θεὸν ἐστεφανωμένος τὸν τιάρην μυρσίνῃ μάλιστα. ἑωυτῷ μὲν δὴ τῷ θύοντι ἰδίῃ μούνῳ οὔ οἱ ἐγγίνεται ἀρᾶσθαι ἀγαθά, ὁ δὲ τοῖσι πᾶσι Πέρσῃσι κατεύχεται εὖ γίνεσθαι καὶ τῷ βασιλέϊ· ἐν γὰρ δὴ τοῖσι ἅπασι Πέρσῃσι καὶ αὐτὸς γίνεται. ἐπεὰν δὲ διαμιστύλας κατὰ μέρεα τὸ ἱρήιον ἑψήσῃ τὰ κρέα, ὑποπάσας ποίην ὡς ἁπαλωτάτην, μάλιστα δὲ τὸ τρίφυλλον, ἐπὶ ταύτης ἔθηκε ὦν πάντα ⟨τὰ⟩ κρέα. διαθέντος δὲ αὐτοῦ μάγος ἀνὴρ παρεστεὼς ἐπαείδει θεογονίην, οἵην δὴ ἐκεῖνοι λέγουσι εἶναι τὴν ἐπαοιδήν· ἄνευ γὰρ δὴ μάγου οὔ σφι νόμος ἐστὶ θυσίας ποιέεσθαι. ἐπισχὼν δὲ ὀλίγον χρόνον ἀποφέρεται ὁ θύσας τὰ κρέα καὶ χρᾶται ὅ τι μιν λόγος αἱρέει.

ib. 133: ἡμέρην δὲ ἁπασέων μάλιστα ἐκείνην τιμᾶν νομίζουσι τῇ ἕκαστος ἐγένετο . . . οἴνῳ δὲ κάρτα προσκέαται, καί σφι οὐκ ἐμέσαι ἔξεστι, οὐκὶ οὐρῆσαι ἀντίον ἄλλου. ταῦτα μέν νυν οὕτω φυλάσσεται, μεθυσκόμενοι δὲ ἐώθασι βουλεύεσθαι τὰ σπουδαιέστατα τῶν πρηγμάτων· τὸ δ' ἂν ἅδῃ σφι βουλευομένοισι, τοῦτο τῇ ὑστεραίῃ νήφουσι προτιθεῖ ὁ στέγαρχος, ἐν τοῦ ἂν ἐόντες βουλεύωνται. καὶ ἢν μὲν ἅδῃ καὶ νήφουσι, χρέωνται αὐτῷ, ἢν δὲ μὴ ἅδῃ, μετιεῖσι. τὰ δ' ἂν νήφοντες προβουλεύσωνται, μεθυσκόμενοι ἐπιδιαγινώσκουσι.

8 δὲ ⟨καὶ⟩ Stein 12 Ἀλιλάτ Selden Ἄλιττα L 17 πέμμασι Valckenaer ἕκαστος Bekker 19 τιήρην Wesseling 26 τὰ add. Va κρεάδια. θέντος Tournier 27 θεογονίην] θεοῖς Madvig θεολογίην Maass

ib. 134: ἐντυγχάνοντες δ' ἀλλήλοισι ἐν τῇσι ὁδοῖσι, τῷδε ἄν τις διαγνοίη εἰ ὅμοιοί εἰσι οἱ συντυγχάνοντες· ἀντὶ γὰρ τοῦ προσαγορεύειν ἀλλήλους φιλέουσι τοῖσι στόμασι, ἢν δὲ ᾖ οὕτερος ὑποδεέστερος ὀλίγῳ, τὰς παρειὰς φιλέονται, ἢν δὲ πολλῷ ᾖ οὕτερος ἀγεννέστερος, προσπίπτων προσκυνέει τὸν ἕτερον.

ib. 135: ξεινικὰ δὲ νόμαια Πέρσαι προσίενται ἀνδρῶν μάλιστα . . . γαμέουσι δὲ ἕκαστος αὐτῶν πολλὰς μὲν κουριδίας γυναῖκας, πολλῷ δ' ἔτι πλεῦνας παλλακὰς κτῶνται.

ib. 136: ἀνδραγαθίη δὲ αὕτη ἀποδέδεκται, μετὰ τὸ μάχεσθαι εἶναι ἀγαθόν, ὃς ἂν πολλοὺς ἀποδέξῃ παῖδας· τῷ δὲ τοὺς πλείστους ἀποδεικνύντι δῶρα ἐκπέμπει ὁ βασιλεὺς ἀνὰ πᾶν ἔτος. τὸ πολλὸν δ' ἡγέαται ἰσχυρὸν εἶναι. παιδεύουσι δὲ τοὺς παῖδας ἀπὸ πενταέτεος ἀρξάμενοι μέχρι εἰκοσαέτεος τρία μοῦνα, ἱππεύειν καὶ τοξεύειν καὶ ἀληθίζεσθαι. πρὶν δὲ ἢ πενταέτης γένηται, οὐκ ἀπικνέεται ἐς ὄψιν τῷ πατρὶ, ἀλλὰ παρὰ τῇσι γυναιξὶ δίαιταν ἔχει. τοῦδε <δὲ> εἵνεκα τοῦτο οὕτω ποιέεται, ἵνα ἢν ἀποθάνῃ τρεφόμενος, μηδεμίαν ἄσην τῷ πατρὶ προσβάλῃ.

ib. 137: αἰνέω μέν νυν τόνδε τὸν νόμον, αἰνέω δὲ καὶ τόνδε, τὸ μὴ μιῆς αἰτίης εἵνεκα μήτε αὐτὸν τὸν βασιλέα μηδένα φονεύειν, μήτε μηδένα τῶν ἄλλων Περσέων μηδένα τῶν ἑωυτοῦ οἰκετέων ἐπὶ μιῇ αἰτίῃ ἀνήκεστον πάθος ἔρδειν· ἀλλὰ λογισάμενος ἢν εὑρίσκῃ πλέω τε καὶ μέζω τὰ ἀδικήματα ἐόντα τῶν ὑπουργημάτων, οὕτω τῷ θυμῷ χρᾶται. ἀποκτεῖναι δὲ οὐδένα κω λέγουσι τὸν ἑωυτοῦ πατέρα οὐδὲ μητέρα, ἀλλὰ ὁκόσα ἤδη τοιαῦτα ἐγένετο, πᾶσαν ἀνάγκην φασὶ ἀναζητεόμενα ταῦτα ἂν εὑρεθῆναι ἤτοι ὑποβολιμαῖα ἐόντα ἢ μοιχίδια· οὐ γὰρ δή φασι οἰκὸς εἶναι τόν γε ἀληθέως τοκέα ὑπὸ τοῦ ἑωυτοῦ παιδὸς ἀποθνήσκειν.

ib. 138: ἅσσα δέ σφι ποιέειν οὐκ ἔξεστι, ταῦτα οὐδὲ λέγειν ἔξεστι. αἴσχιστον δὲ αὐτοῖσι τὸ ψεύδεσθαι νενόμισται, δεύτερα δὲ τὸ ὀφείλειν χρέος, πολλῶν μὲν καὶ ἄλλων εἵνεκα, μάλιστα δὲ ἀναγκαίην φασὶ εἶναι τὸν ὀφείλοντα καί τι ψεῦδος λέγειν. ὃς ἂν δὲ τῶν ἀστῶν λέπρην ἢ λεύκην ἔχῃ, ἐς πόλιν οὗτος οὐ κατέρχεται οὐδὲ συμμίσγεται τοῖσι ἄλλοισι Πέρσῃσι. φασὶ δέ μιν ἐς τὸν ἥλιον ἁμαρτόντα τι ταῦτα ἔχειν. ξεῖνον δὲ πάντα τὸν λαμβανόμενον ὑπὸ τούτων πολλοὶ ἐξελαύνουσι ἐκ τῆς χώ-

18 δὲ add. Schweighaeuser 20 ἄσην] βλάβην ἀηδῆ RSV
41 πολλοὶ ante καὶ τὰς transp. Reiz

ρης, καὶ τὰς λευκὰς περιστεράς, τὴν αὐτὴν αἰτίην ἐπιφέροντες. ἐς ποταμὸν δὲ οὔτε ἐνουρέουσι οὔτε ἐμπτύουσι, οὐ χεῖρας ἐναπονίζονται οὐδὲ ἄλλον οὐδένα περιορῶσι, ἀλλὰ σέβονται ποταμοὺς μάλιστα.

ib. 140: ταῦτα μὲν ἀτρεκέως ἔχω περὶ αὐτῶν εἰδὼς εἰπεῖν. τάδε μέντοι ὡς κρυπτόμενα λέγεται καὶ οὐ σαφηνέως περὶ τοῦ ἀποθανόντος, ὡς οὐ πρότερον θάπτεται ἀνδρὸς Πέρσεω ὁ νέκυς πρὶν ἂν ὑπ᾽ ὄρνιθος ἢ κυνὸς ἑλκυσθῇ. μάγους μὲν γὰρ ἀτρεκέως οἶδα ταῦτα ποιέοντας· ἐμφανέως γὰρ δὴ ποιεῦσι. κατακηρώσαντες δὲ ὦν τὸν νέκυν Πέρσαι γῇ κρύπτουσι. μάγοι δὲ κεχωρίδαται πολλὸν τῶν τε ἄλλων ἀνθρώπων καὶ τῶν ἐν Αἰγύπτῳ ἱρέων· οἱ μὲν γὰρ ἁγνεύουσι ἔμψυχον μηδὲν κτείνειν, εἰ μὴ ὅσα θύουσι· οἱ δὲ δὴ μάγοι αὐτοχειρίῃ πάντα πλὴν κυνὸς καὶ ἀνθρώπου κτείνουσι, καὶ ἀγώνισμα μέγα τοῦτο ποιεῦνται, κτείνοντες ὁμοίως μύρμηκάς τε καὶ ὄφις καὶ τἆλλα ἑρπετὰ καὶ πετεινά.

ib. 187: ἡ . . . αὐτὴ αὕτη βασίλεια (sc. Νίτωκρις) καὶ ἀπάτην τοιήνδε τινὰ ἐμηχανήσατο. ὑπὲρ τῶν μάλιστα λεωφόρων πυλέων τοῦ ἄστεος τάφον ἑωυτῇ κατεσκευάσατο μετέωρον ἐπιπολῆς αὐτέων τῶν πυλέων, ἐνεκόλαψε δὲ ἐς τὸν τάφον γράμματα λέγοντα τάδε· τῶν τις ἐμεῦ ὕστερον γινομένων Βαβυλῶνος βασλέων ἢν σπανίσῃ χρημάτων, ἀνοίξας τὸν τάφον λαβέτω ὁκόσα βούλεται χρήματα· μὴ μέντοι γε μὴ σπανίσας γε ἄλλως ἀνοίξῃ· οὐ γὰρ ἄμεινον. οὗτος ὁ τάφος ἦν ἀκίνητος μέχρι οὗ ἐς Δαρεῖον περιῆλθε ἡ βασιληΐη. Δαρείῳ δὲ καὶ δεινὸν ἐδόκεε εἶναι τῇσι πύλῃσι ταύτῃσι μηδὲν χρᾶσθαι καὶ χρημάτων κειμένων καὶ αὐτῶν τῶν γραμμάτων ἐπικαλεομένων μὴ οὐ λαβεῖν αὐτά. τῇσι δὲ πύλῃσι ταύτῃσι οὐδὲν ἐχρᾶτο τοῦδε εἵνεκα, ὅτι ὑπὲρ κεφαλῆς οἱ ἐγίνετο ὁ νεκρὸς διεξελαύνοντι. ἀνοίξας δὲ τὸν τάφον εὗρε χρήματα μὲν οὔ, τὸν δὲ νεκρὸν καὶ γράμματα λέγοντα τάδε· εἰ μὴ ἄπληστός τε ἔας χρημάτων καὶ αἰσχροκερδής, οὐκ ἂν νεκρῶν θήκας ἀνέῳγες.

ib. 189: ἐπείτε . . . ὁ Κῦρος πορευόμενος ἐπὶ τὴν Βαβυλῶνα ἐγίνετο ἐπὶ Γύνδῃ ποταμῷ, . . . τοῦτον δὴ τὸν Γύνδην ποταμὸν ὡς διαβαίνειν ἐπειρᾶτο ὁ Κῦρος ἐόντα νηυσιπέρητον, ἐνθαῦτά οἱ τῶν τις ἱρῶν ἵππων τῶν λευκῶν ὑπὸ ὕβριος ἐσβὰς ἐς τὸν ποταμὸν διαβαίνειν ἐπειρᾶτο, ὁ δέ μιν συμψήσας ὑποβρύχιον οἰχώκεε φέρων. κάρτα τε δὴ ἐχαλέπαινε τῷ ποταμῷ ὁ Κῦρος τοῦτο ὑβρίσαντι καί

1 περιστερὰς *** Stein 10 δὲ ὦν St δὴ ὦν L 29 χρημάτων L γραμμάτων Naber 37 Γύδην AB*

οἱ ἐπηπείλησε οὕτω δή μιν ἀσθενέα ποιήσειν, ὥστε τοῦ λοιποῦ καὶ γυναῖκάς μιν εὐπετέως τὸ γόνυ οὐ βρεχούσας διαβήσεσθαι. μετὰ δὲ τὴν ἀπειλὴν μετεὶς τὴν ἐπὶ Βαβυλῶνα στράτευσιν διαίρεε τὴν στρατιὴν δίχα, διελὼν δὲ κατέτεινε σχοινοτενέας ὑποδέξας διώρυχας ὀγδώκοντα καὶ ἑκατὸν παρ' ἑκάτερον τὸ χεῖλος τοῦ Γύνδεω τετραμμένας πάντα τρόπον, διατάξας δὲ τὸν στρατὸν ὀρύσσειν ἐκέλευε. οἷα δὲ ὁμίλου πολλοῦ ἐργαζομένου ἤνετο μὲν τὸ ἔργον, ὅμως μέντοι τὴν θερείην πᾶσαν αὐτοῦ ταύτῃ διέτριψαν ἐργαζόμενοι.

ib. 190: ὡς δὲ τὸν Γύνδην ποταμὸν ἐτείσατο Κῦρος ἐς τριηκοσίας καὶ ἑξήκοντα διώρυχάς μιν διαλαβών, καὶ τὸ δεύτερον ἔαρ ὑπέλαμπε, οὕτω δὴ ἤλαυνε ἐπὶ τὴν Βαβυλῶνα.

ib. III, 16: Καμβύσης ... ἐκ Μέμφιος ἀπίκετο ἐς Σάϊν πόλιν, βουλόμενος ποιῆσαι τὰ δὴ καὶ ἐποίησε. ἐπείτε γὰρ ἐσῆλθε ἐς τὰ τοῦ Ἀμάσιος οἰκία, αὐτίκα ἐκέλευε ἐκ τῆς ταφῆς τὸν Ἀμάσιος νέκυν ἐκφέρειν ἔξω· ὡς δὲ ταῦτά οἱ ἐπιτελέα ἐγένετο, μαστιγοῦν ἐκέλευε καὶ τὰς τρίχας ἀποτίλλειν καὶ κεντροῦν τε καὶ τἆλλα πάντα λυμαίνεσθαι. ἐπείτε δὲ καὶ ταῦτα ἔκαμον ποιεῦντες (ὁ γὰρ δὴ νεκρὸς ἅτε τεταριχευμένος ἀντεῖχέ τε καὶ οὐδὲν διεχέετο), ἐκέλευσέ μιν ὁ Καμβύσης κατακαῦσαι, ἐντελλόμενος οὐκ ὅσια. Πέρσαι γὰρ θεὸν νομίζουσι εἶναι τὸ πῦρ. τὸ ὦν κατακαίειν γε τοὺς νεκροὺς οὐδαμῶς ἐν νόμῳ οὐδετέροισί ἐστι, Πέρσῃσι μὲν δι' ὅ περ εἴρηται, θεῷ οὐ δίκαιον εἶναι λέγοντες νέμειν νεκρὸν ἀνθρώπου· Αἰγυπτίοισι δὲ νενόμισται ⟨τὸ⟩ πῦρ θηρίον εἶναι ἔμψυχον, πάντα δὲ αὐτὸ κατεσθίειν τά περ ἂν λάβῃ, πλησθὲν δὲ [αὐτὸ] τῆς βορῆς συναποθνήσκειν τῷ κατεσθιομένῳ. . . . οὕτω δὴ οὐδετέροισι νομιζόμενα ἐνετέλλετο ποιέειν ὁ Καμβύσης.

ib. 25: ἐπείτε . . . στρατευόμενος ἐγένετο ἐν Θήβῃσι, ἀπέκρινε τοῦ στρατοῦ ὡς πέντε μυριάδας, καὶ τούτοισι μὲν ἐνετέλλετο Ἀμμωνίους ἐξανδραποδισαμένους τὸ χρηστήριον τὸ τοῦ Διὸς ἐμπρῆσαι, αὐτὸς δὲ τὸν λοιπὸν ἄγων στρατὸν ἤιε ἐπὶ τοὺς Αἰθίοπας.

ib. 27: ἀπιγμένου ... Καμβύσεω ἐς Μέμφιν ἐφάνη Αἰγυπτίοισι ὁ Ἆπις, τὸν Ἕλληνες Ἔπαφον καλέουσι· ἐπιφανέος δὲ τούτου γενομένου αὐτίκα οἱ Αἰγύπτιοι εἵματά τε ἐφόρεον τὰ κάλλιστα καὶ ἦσαν ἐν θαλίῃσι. ἰδὼν δὲ ταῦτα τοὺς Αἰγυπτίους ποιεῦντας ὁ Καμβύσης, πάγχυ σφέας καταδόξας ἑωυτοῦ κακῶς πρήξαντος χαρμόσυνα

8 ἠνύετο RSV 27 τὸ Stob. om. L 28 αὐτὸ del. Abicht

ταῦτα ποιέειν, ἐκάλεε τοὺς ἐπιτρόπους τῆς Μέμφιος· ἀπικομένων δὲ ἐς ὄψιν εἴρετο ὅ τι πρότερον μὲν ἐόντος αὐτοῦ ἐν Μέμφι ἐποίευν τοιοῦτο οὐδὲν Αἰγύπτιοι, τότε δὲ ἐπεὶ αὐτὸς παρείη τῆς στρατιῆς πλῆθός τι ἀποβαλών. οἱ δὲ ἔφραζον ὥς σφι θεὸς εἴη φανεὶς διὰ χρόνου πολλοῦ ἐωθὼς ἐπιφαίνεσθαι, καὶ ὡς ἐπεὰν φανῇ, τότε πάντες Αἰγύπτιοι κεχαρηκότες ὁρτάζοιεν. ταῦτα ἀκούσας ὁ Καμβύσης ἔφη ψεύδεσθαί σφεας καὶ ὡς ψευδομένους θανάτῳ ἐζημίου.

ib. 28: ἀποκτείνας δὲ τούτους δεύτερα τοὺς ἱρέας ἐκάλεε ἐς ὄψιν. λεγόντων δὲ κατὰ ταὐτὰ τῶν ἱρέων οὐ λήσειν ἔφη αὐτὸν εἰ θεός τις χειροήθης ἀπιγμένος εἴη Αἰγυπτίοισι. τοσαῦτα δὲ εἴπας ἀπάγειν ἐκέλευε τὸν Ἆπιν τοὺς ἱρέας. οἱ μὲν δὴ μετήϊσαν ἄξοντες κτλ.

ib. 29: ὡς δὲ ἤγαγον τὸν Ἆπιν οἱ ἱρέες, ὁ Καμβύσης, οἷα ἐὼν ὑπομαργότερος, σπασάμενος τὸ ἐγχειρίδιον, θέλων τύψαι τὴν γαστέρα τοῦ Ἄπιος παίει τὸν μηρόν· γελάσας δὲ εἶπε πρὸς τοὺς ἱρέας· Ὦ κακαὶ κεφαλαί, τοιοῦτοι θεοὶ γίνονται, ἔναιμοί τε καὶ σαρκώδεες καὶ ἐπαΐοντες σιδηρίων; ἄξιος μέν γε Αἰγυπτίων οὗτός γε ὁ θεός· ἀτάρ τοι ὑμεῖς γε οὐ χαίροντες γέλωτα ἐμὲ θήσεσθε. ταῦτα εἴπας ἐνετείλατο τοῖσι ταῦτα πρήσσουσι τοὺς μὲν ἱρέας ἀπομαστιγῶσαι, Αἰγυπτίων δὲ τῶν ἄλλων τὸν ἂν λάβωσι ὁρτάζοντα κτείνειν. ⟨ἡ⟩ ὁρτὴ μὲν δὴ διελέλυτο Αἰγυπτίοισι, οἱ δὲ ἱρέες ἐδικαιεῦντο, ὁ δὲ Ἆπις πεπληγμένος τὸν μηρὸν ἔφθινε ἐν τῷ ἱρῷ κατακείμενος. καὶ τὸν μὲν τελευτήσαντα ἐκ τοῦ τρώματος ἔθαψαν οἱ ἱρέες λάθρῃ Καμβύσεω.

ib. 31: ἐξεργάσατο τὴν ἀδελφεὴν ἐπισπομένην οἱ ἐς Αἴγυπτον, τῇ καὶ συνοίκεε καὶ ἦν οἱ ἀπ' ἀμφοτέρων ἀδελφεή. ἔγημε δὲ αὐτὴν ὧδε· οὐδαμῶς γὰρ ἐώθεσαν πρότερον τῇσι ἀδελφεῇσι συνοικέειν Πέρσαι· ἠράσθη μιῆς τῶν ἀδελφεῶν Καμβύσης καὶ ἔπειτα βουλόμενος αὐτὴν γῆμαι, ὅτι οὐκ ἐωθότα ἐπενόεε ποιήσειν, εἴρετο καλέσας τοὺς βασιληίους [καλεομένους] δικαστὰς εἴ τις ἔστι κελεύων νόμος τὸν βουλόμενον ἀδελφεῇ συνοικέειν. . . . εἰρομένου ὦν τοῦ Καμβύσεω ὑπεκρίνοντο [αὐτῷ] οὗτοι καὶ δίκαια καὶ ἀσφαλέα, φάμενοι νόμον οὐδένα ἐξευρίσκειν ὃς κελεύει ἀδελφεῇ συνοικέειν ἀδελφεόν, ἄλλον μέντοι ἐξευρηκέναι νόμον, τῷ βασιλεύοντι Περσέων ἐξεῖναι ποιέειν τὸ ἂν

4 αὖτις Herwerden 19 τοιοῦτοι] οὗτοι οἱ ABC εἰσαΐοντες RS (ἐσ-) V 24 ἡ add. Schae 35 καλεομένους om. ABP eras. C 37 αὐτῷ om. RSV

βούληται. οὕτω οὔτε τὸν νόμον ἔλυσαν δείσαντες Καμβύσεα, ἵνα τε μὴ αὐτοὶ ἀπόλωνται τὸν νόμον περιστέλλοντες, παρεξεῦρον ἄλλον νόμον σύμμαχον τῷ θέλοντι γαμέειν ἀδελφεάς. τότε μὲν δὴ ὁ Καμβύσης ἔγημε τὴν ἐρωμένην, μετὰ μέντοι οὐ πολλὸν χρόνον ἔσχε καὶ ἄλλην ἀδελφεήν· τουτέων δὴ τὴν νεωτέρην ἐπισπομένην οἱ ἐπ' Αἴγυπτον κτείνει.

ib. 35: Περσέων . . . δυώδεκα ἐπ' οὐδεμῇ αἰτίῃ ἀξιοχρέῳ ἑλὼν ζώοντας ἐπὶ κεφαλὴν κατώρυξε.

ib. 37: ἐς τοῦ Ἡφαίστου τὸ ἱρὸν ἦλθε καὶ πολλὰ τῷ ἀγάλματι κατεγέλασε· ἔστι γὰρ τοῦ Ἡφαίστου τὤγαλμα τοῖσι Φοινικηίοισι Παταΐκοισι ἐμφερέστατον, τοὺς οἱ Φοίνικες ἐν τῇσι πρῴρῃσι τῶν τριηρέων περιάγουσι. ὃς δὲ τούτους μὴ ὄπωπε, ἐγὼ δέ οἱ σημανέω· πυγμαίου ἀνδρὸς μίμησίς ἐστι. ἐσῆλθε δὲ καὶ ἐς τῶν Καβείρων τὸ ἱρόν, ἐς τὸ οὐ θεμιτόν ἐστι ἐσιέναι ἄλλον γε ἢ τὸν ἱρέα· ταῦτα δὲ τὰ ἀγάλματα καὶ ἐνέπρησε πολλὰ κατασκώψας.

ib. 62: (Πρηξάσπης·) ἐγὼ . . . αὐτὸς ποιήσας τὰ σύ με ἐκέλευες ἔθαψά μιν (sc. Σμέρδιν) χερσὶ τῇσι ἐμεωυτοῦ. εἰ μέν νυν οἱ τεθνεῶτες ἀνεστέασι, προσδέκεό τοι καὶ Ἀστυάγεα τὸν Μῆδον ἐπαναστήσεσθαι.

ib. 65: (Καμβύσης·) Σμέρδις . . . . ἦν ὁ μάγος τόν μοι ὁ δαίμων προέφαινε ἐν τῇ ὄψι ἐπαναστήσεσθαι. τὸ μὲν δὴ ἔργον ἐξέργασταί μοι, καὶ Σμέρδιν τὸν Κύρου μηκέτι ὑμῖν ἐόντα λογίζεσθε· οἱ δὲ ὑμῖν μάγοι κρατέουσι τῶν βασιληΐων, τόν τε ἔλιπον ἐπίτροπον τῶν οἰκίων καὶ ὁ ἐκείνου ἀδελφεὸς Σμέρδις. τὸν μέν νυν μάλιστα χρῆν ἐμεῦ αἰσχρὰ πρὸς τῶν μάγων πεπονθότος τιμωρέειν ἐμοί, οὗτος μὲν ἀνοσίῳ μόρῳ τετελεύτηκε ὑπὸ τῶν ἑωυτοῦ οἰκηιοτάτων· τούτου δὲ μηκέτι ἐόντος, δεύτερα τῶν λοιπῶν ὑμῖν, ὦ Πέρσαι, γίνεταί μοι ἀναγκαιότατον ἐντέλλεσθαι τὰ θέλω μοι γενέσθαι τελευτῶν τὸν βίον· καὶ δὴ ὑμῖν τάδε ἐπισκήπτω θεοὺς τοὺς βασιληΐους ἐπικαλέων, καὶ πᾶσι ὑμῖν καὶ μάλιστα Ἀχαιμενιδέων τοῖσι παρεοῦσι, μὴ περιιδεῖν τὴν ἡγεμονίην αὖτις ἐς Μήδους περιελθοῦσαν.

ib. 66: Πέρσαι . . . ὡς τὸν βασιλέα εἶδον ἀνακλαύσαντα, πάντες τά τε ἐσθῆτος ἐχόμενα εἶχον, ταῦτα κατηρείκοντο καὶ οἰμωγῇ ἀφθόνῳ διεχρέωντο . . . Περσέων δὲ

5 εἰρημένην RSV 12 Φοινικικοῖσι R Φοινικοῖσι SV 13 οἱ om. PV πρώτῃσι ABCP 14 ὄπωπε Schae. ὀπώπεε(ν) L (ἀπ- SV) ἐγὼ δὲ] ὧ(ι)δε ABC 25 ὑμῖν post ἐόντα RSV; an delendum? 37 κατηρείκοντο SVR[1] Hesych. s. v. κατηρίκοντο R* κατήρεικόν τε P κατήρικόν τε ABC (ex-πόν τε corr. C*)

τοῖσι παρεοῦσι ἀπιστίη πολλὴ ὑπεκέχυτο τοὺς μάγους ἔχειν τὰ πρήγματα.

ib. 67: ὁ . . . μάγος . . . ἀπεδέξατο ἐς τοὺς ὑπηκόους πάντας εὐεργεσίας μεγάλας, ὥστε ἀποθανόντος αὐτοῦ πόθον ἔχειν πάντας τοὺς ἐν τῇ Ἀσίῃ, πάρεξ αὐτῶν Περσέων.

ib. 72: (Δαρεῖος·) ἔνθα . . . τι δεῖ ψεῦδος λέγεσθαι, λεγέσθω. τοῦ γὰρ αὐτοῦ γλιχόμεθα οἵ τε ψευδόμενοι καὶ οἱ τῇ ἀληθείῃ διαχρεώμενοι. οἱ μέν γε ψεύδονται τότε ἐπεάν τι μέλλωσι τοῖσι ψεύδεσι πείσαντες κερδήσεσθαι, οἱ δ' ἀληθίζονται ἵνα τι τῇ ἀληθείῃ ἐπισπάσωνται κέρδος καί τις μᾶλλόν σφι ἐπιτράπηται. οὕτω οὐ ταὐτὰ ἀσκέοντες τὠυτοῦ περιεχόμεθα. εἰ δὲ μηδὲν κερδήσεσθαι μέλλοιεν, ὁμοίως ἂν ὅ τε ἀληθιζόμενος ψευδὴς εἴη καὶ ὁ ψευδόμενος ἀληθής.

ib. 73: (Γωβρύης·) ἀρχόμεθα . . . ἐόντες Πέρσαι ὑπὸ Μήδου ἀνδρὸς μάγου [τε], καὶ τούτου ὦτα οὐκ ἔχοντος.

ib. 79: Πέρσαι μαθόντες τὸ γεγονὸς ἐκ τῶν ἑπτὰ καὶ τῶν μάγων τὴν ἀπάτην ἐδικαίευν καὶ αὐτοὶ ἕτερα τοιαῦτα ποιέειν, σπασάμενοι δὲ τὰ ἐγχειρίδια ἔκτεινον ὅκου τινὰ μάγον εὕρισκον· εἰ δὲ μὴ νὺξ ἐπελθοῦσα ἔσχε, ἔλιπον ἂν οὐδένα μάγον. ταύτην τὴν ἡμέρην θεραπεύουσι Πέρσαι κοινῇ μάλιστα τῶν ἡμερέων καὶ ἐν αὐτῇ ὁρτὴν μεγάλην ἀνάγουσι, ἣ κέκληται ὑπὸ Περσέων μαγοφόνια, ἐν τῇ μάγον οὐδένα ἔξεστι φανῆναι ἐς τὸ φῶς, ἀλλὰ κατ' οἴκους ἑωυτοὺς οἱ μάγοι ἔχουσι τὴν ἡμέρην ταύτην.

ib. 84: περὶ . . . τῆς βασιληίης ἐβούλευσαν τοιόνδε· ὅτευ ἂν ὁ ἵππος ἡλίου ἐπανατείλαντος πρῶτος φθέγξηται ἐν τῷ προαστίῳ αὐτῶν ἐπιβεβηκότων, τοῦτον ἔχειν τὴν βασιληίην.

ib. 86: ἅμ' ἡμέρῃ δὲ διαφωσκούσῃ οἱ ἓξ κατὰ συνεθήκαντο παρῆσαν ἐπὶ τῶν ἵππων· διεξελαυνόντων δὲ κατὰ τὸ προάστιον, ὡς κατὰ τοῦτο τὸ χωρίον ἐγίνοντο ἵνα τῆς παροιχομένης νυκτὸς κατεδέδετο ἡ θήλεα ἵππος, ἐνθαῦτα ὁ Δαρείου ἵππος προσδραμὼν ἐχρεμέτισε. ἅμα δὲ τῷ ἵππῳ τοῦτο ποιήσαντι ἀστραπὴ ἐξ αἰθρίης καὶ βροντὴ ἐγένετο. ἐπιγενόμενα δὲ ταῦτα τῷ Δαρείῳ ἐτελέωσέ μιν ὥσπερ ἐκ συνθέτου τευ γενόμενα· οἱ δὲ καταθορόντες ἀπὸ τῶν ἵππων προσεκύνεον τὸν Δαρεῖον.

ib. 90: ἀπὸ . . . Κιλίκων ἵπποι τε λευκοὶ ἑξήκοντα καὶ τριηκόσιοι, ἑκάστης ἡμέρης εἷς γινόμενος.

ib. IV, 92: Δαρεῖος . . . ἀπίκετο ἐς ἄλλον ποταμόν

6 καὶ ψεῦδος Stob. flor. 12, 23 11 ταὐτά A ταῦτα rell.
15 τε om. ABCP 19 εὑρίσκοιεν Stein 22 μαγοφονία CPRV

τῷ οὔνομα Ἀρτισκός ἐστι, ὃς διὰ Ὀδρυσέων ῥέει. ἐπὶ τοῦτον δὴ τὸν ποταμὸν ἀπικόμενος ἐποίησε τοιόνδε· ἀποδέξας χωρίον τῇ στρατιῇ ἐκέλευε πάντα ἄνδρα λίθον ἕνα παρεξιόντα τιθέναι ἐς τὸ ἀποδεδεγμένον τοῦτο χωρίον. ὡς δὲ ταῦτα ἡ στρατιὴ ἐπετέλεσε, ἐνθαῦτα κολωνοὺς μεγάλους τῶν λίθων καταλιπὼν ἀπήλαυνε τὴν στρατιήν.

ib. V, 106: (Ἱστιαῖος·) ταῦτα . . . κατὰ νόον τὸν σὸν ποιήσας θεοὺς ἐπόμνυμι τοὺς βασιληίους μὴ μὲν πρότερον ἐκδύσεσθαι τὸν ἔχων κιθῶνα καταβήσομαι ἐς Ἰωνίην, πρὶν ἄν τοι Σαρδὼ νῆσον τὴν μεγίστην δασμοφόρον ποιήσω.

ib. VI, 97: ἐν ᾧ . . . οὗτοι ταῦτα ἐποίευν, οἱ Δήλιοι ἐκλιπόντες καὶ αὐτοὶ τὴν Δῆλον οἴχοντο φεύγοντες ἐς Τῆνον. τῆς δὲ στρατιῆς καταπλεούσης ὁ Δᾶτις προπλώσας οὐκ ἔα τὰς νέας πρὸς τὴν Δῆλον προσορμίζεσθαι, ἀλλὰ πέρην ἐν τῇ Ῥηναίῃ· αὐτὸς δὲ πυθόμενος ἵνα ἦσαν οἱ Δήλιοι, πέμπων κήρυκα ἠγόρευέ σφι τάδε· Ἄνδρες ἱροί, τί φεύγοντες οἴχεσθε, οὐκ ἐπιτήδεα καταγνόντες κατ' ἐμεῦ; ἐγὼ γὰρ καὶ αὐτὸς ἐπὶ τοσοῦτό γε φρονέω καί μοι ἐκ βασιλέος ὧδε ἐπέσταλται, ἐν τῇ χώρῃ οἱ δύο θεοὶ ἐγένοντο, ταύτην μηδὲν σίνεσθαι, μήτε αὐτὴν τὴν χώρην μήτε τοὺς οἰκήτορας αὐτῆς. νῦν ὦν καὶ ἄπιτε ἐπὶ τὰ ὑμέτερα αὐτῶν καὶ τὴν νῆσον νέμεσθε. ταῦτα μὲν ἐπεκηρυκεύσατο τοῖσι Δηλίοισι, μετὰ δὲ λιβανωτοῦ τριηκόσια τάλαντα κατανήσας ἐπὶ τοῦ βωμοῦ ἐθυμίησε.

ib. VII, 19: ὁρμημένῳ . . . Ξέρξῃ στρατηλατέειν μετὰ ταῦτα τρίτη ὄψις ἐν τῷ ὕπνῳ ἐγένετο, τὴν οἱ μάγοι ἔκριναν ἀκούσαντες φέρειν τε ἐπὶ πᾶσαν γῆν δουλεύσειν τέ οἱ πάντας ἀνθρώπους. ἡ δὲ ὄψις ἦν ἥδε· ἐδόκεε ὁ Ξέρξης ἐστεφανῶσθαι ἐλαίης θαλλῷ, ἀπὸ δὲ τῆς ἐλαίης τοὺς κλάδους γῆν πᾶσαν ἐπισχεῖν, μετὰ δὲ ἀφανισθῆναι περὶ τῇ κεφαλῇ κείμενον τὸν στέφανον. κρινάντων δὲ ταύτῃ τῶν μάγων Περσέων τε τῶν συλλεχθέντων αὐτίκα πᾶς ἀνὴρ ἐς τὴν ἀρχὴν τὴν ἑωυτοῦ ἀπελάσας εἶχε προθυμίην πᾶσαν ἐπὶ τοῖσι εἰρημένοισι.

ib. 31: ὡς . . . ἐκ τῆς Φρυγίης ἐσέβαλε ἐς τὴν Λυδίην . . . ταύτην ἰὼν ὁ Ξέρξης τὴν ὁδὸν εὗρε πλατάνιστον, τὴν κάλλεος εἵνεκα δωρησάμενος κόσμῳ χρυσέῳ καὶ μελεδωνῷ ἀθανάτῳ ἀνδρὶ ἐπιτρέψας δευτέρῃ ἡμέρῃ ἀπίκετο ἐς τῶν Λυδῶν τὸ ἄστυ.

1 Ἀρτισκός PSV Ἀρτίσκος B Ἀρτικός R Ὀδρυσῶν ABCP 5 μεγάλων ABC 9 ἐκδύσεσθαι Krueger -σασθαι L 15 Δῆλον] νῆσον ABC 16 Ῥηνέῃ RSV

ib. 35: ὡς . . . ἐπύθετο Ξέρξης, δεινὰ ποιεύμενος τὸν Ἑλλήσποντον ἐκέλευσε τριηκοσίας ἐπικέσθαι μάστιγι πληγὰς καὶ κατεῖναι ἐς τὸ πέλαγος πεδέων ζεῦγος. ἤδη δὲ ἤκουσα ὡς καὶ στιγέας ἅμα τούτοισι ἀπέπεμψε στίξοντας τὸν Ἑλλήσποντον. ἐνετέλλετο δὲ ὦν ῥαπίζοντας λέγειν βάρβαρά τε καὶ ἀτάσθαλα· Ὦ πικρὸν ὕδωρ, δεσπότης τοι δίκην ἐπιτιθεῖ τήνδε, ὅτι μιν ἠδίκησας οὐδὲν πρὸς ἐκείνου ἄδικον παθόν. καὶ βασιλεὺς μὲν Ξέρξης διαβήσεταί σε, ἤν τε σύ γε βούλῃ ἤν τε μή· σοὶ δὲ κατὰ δίκην ἄρα οὐδεὶς ἀνθρώπων θύει ὡς ἐόντι καὶ θολερῷ καὶ ἁλμυρῷ ποταμῷ. τήν τε δὴ θάλασσαν ἐνετέλλετο τούτοισι ζημιοῦν κτλ.

ib. 37: ὁρμημένῳ . . . οἱ ὁ ἥλιος ἐκλιπὼν τὴν ἐκ τοῦ οὐρανοῦ ἕδρην ἀφανὴς ἦν οὔτ' ἐπινεφέλων ἐόντων αἰθρίης τε τὰ μάλιστα, ἀντὶ ἡμέρης τε νὺξ ἐγένετο. ἰδόντι δὲ καὶ μαθόντι τοῦτο τῷ Ξέρξῃ ἐπιμελὲς ἐγένετο, καὶ εἴρετο τοὺς μάγους τὸ θέλει προφαίνειν τὸ φάσμα. οἱ δὲ ἔφασαν ὡς Ἕλλησι προδεικνύει ὁ θεὸς ἔκλειψιν τῶν πολίων, λέγοντες ἥλιον εἶναι Ἑλλήνων προδέκτορα, σελήνην δὲ σφέων.

ib. 39: ἐκέλευε τοῖσι προσετέτακτο ταῦτα πρήσσειν, τῶν Πυθίου παίδων ἐξευρόντας τὸν πρεσβύτατον μέσον διαταμεῖν, διαταμόντας δὲ τὰ ἡμίτομα διαθεῖναι τὸ μὲν ἐπὶ δεξιὰ τῆς ὁδοῦ, τὸ δ' ἐπ' ἀριστερά, καὶ ταύτῃ διεξιέναι τὸν στρατόν.

ib. 40: μετὰ . . . ἱροὶ Νησαῖοι καλεόμενοι ἵπποι δέκα, κεκοσμημένοι ὡς κάλλιστα. Νησαῖοι δὲ καλέονται ἵπποι ἐπὶ τοῦδε· ἔστι πεδίον μέγα τῆς Μηδικῆς τῷ οὔνομά ἐστι Νήσαιον. τοὺς ὦν δὴ ἵππους τοὺς μεγάλους φέρει τὸ πεδίον τοῦτο. ὄπισθε δὲ τούτων τῶν δέκα ἵππων ἅρμα Διὸς ἱρὸν ἐπετέτακτο, τὸ ἵπποι μὲν εἷλκον λευκοὶ ὀκτώ, ὄπισθε δὲ αὖ τῶν ἵππων εἵπετο πεζῇ ἡνίοχος ἐχόμενος τῶν χαλινῶν· οὐδεὶς γὰρ δὴ ἐπὶ τοῦτον τὸν θρόνον ἀνθρώπων ἀναβαίνει.

ib. 43: ἀπικομένου . . . τοῦ στρατοῦ ἐπὶ τὸν Σκάμανδρον . . . Ξέρξης ἐς τὸ Πριάμου Πέργαμον ἀνέβη ἵμερον ἔχων θεήσασθαι. θεησάμενος δὲ καὶ πυθόμενος ἐκείνων ἕκαστα τῇ Ἀθηναίῃ τῇ Ἰλιάδι ἔθυσε βοῦς χιλίας, χοὰς δὲ οἱ μάγοι τοῖσι ἥρωσι ἐχέαντο. ταῦτα δὲ ποιησαμένοισι νυκτὸς φόβος ἐς τὸ στρατόπεδον ἐνέπεσε.

6 τὰ βαρβαρά RSV τάσθαλα R 9 σε] δὲ R 10 θολερῷ Eldick δολερῷ L 11 τε] δὲ C 27 μέγα om. C 31 τὸν] ποταμὸν ABCP

ib. 53: (Ξέρξης·) νῦν . . . διαβαίνωμεν ἐπευξάμενοι τοῖσι θεοῖσι οἳ Περσίδα γῆν λελόγχασι.

ib. 54: τῇ . . . ὑστεραίῃ ἀνέμενον τὸν ἥλιον ἐθέλοντες ἰδέσθαι ἀνίσχοντα, θυμιήματά τε παντοῖα ἐπὶ τῶν γεφυρέων καταγίζοντες καὶ μυρσίνῃσι στορνύντες τὴν ὁδόν. ὡς δ' ἐπανέτελλε ὁ ἥλιος, σπένδων ἐκ χρυσέης φιάλης Ξέρξης ἐς τὴν θάλασσαν εὔχετο πρὸς τὸν ἥλιον μηδεμίαν οἱ συντυχίην τοιαύτην γενέσθει, ἥ μιν παύσει καταστρέψασθαι τὴν Εὐρώπην πρότερον ἢ ἐπὶ τέρμασι τοῖσι ἐκείνης γένηται. εὐξάμενος δὲ ἐσέβαλε τὴν φιάλην ἐς τὸν Ἑλλήσποντον καὶ χρύσεον κρητῆρα καὶ Περσικὸν ξίφος, τὸν ἀκινάκην καλέουσι. ταῦτα οὐκ ἔχω ἀτρεκέως διακρῖναι οὔτε εἰ τῷ ἡλίῳ ἀνατιθεὶς κατῆκε ἐς τὸ πέλαγος οὔτε εἰ μετεμέλησέ οἱ τὸν Ἑλλήσποντον μαστιγώσαντι καὶ ἀντὶ τούτων τὴν θάλασσαν ἐδωρέετο.

ib. 55: μετὰ . . . οἵ τε ἵπποι οἱ ἱροὶ καὶ τὸ ἅρμα τὸ ἱρόν.

ib. 113: ἐς . . . τὸν Στρυμόνα . . . οἱ μάγοι ἐκαλλιερέοντο σφάζοντες ἵππους λευκούς.

ib. 114: φαρμακεύσαντες δὲ ταῦτα ἐς τὸν ποταμὸν καὶ ἄλλα πολλὰ πρὸς τούτοισι ἐν Ἐννέα ὁδοῖσι τῇσι Ἠδωνῶν ἐπορεύοντο κατὰ τὰς γεφύρας, τὸν Στρυμόνα εὑρόντες ἐζευγμένον. Ἐννέα δὲ ὁδοὺς πυνθανόμενοι τὸν χῶρον τοῦτον καλέεσθαι τοσούτους ἐν αὐτῷ παῖδάς τε καὶ παρθένους ἀνδρῶν τῶν ἐπιχωρίων ζώοντας κατώρυσσον. Περσικὸν δὲ τὸ ζώοντας κατορύσσειν, ἐπεὶ καὶ Ἄμηστριν τὴν Ξέρξεω γυναῖκα πυνθάνομαι γηράσασαν δὶς ἑπτὰ Περσέων παῖδας, ἐόντων ἐπιφανέων ἀνδρῶν, ὑπὲρ ἑωυτῆς τῷ ὑπὸ γῆν λεγομένῳ εἶναι θεῷ ἀντιχαρίζεσθαι κατορύσσουσαν.

ib. 117: ἐν Ἀκάνθῳ . . . ἐόντος Ξέρξεω συνήνεικε ὑπὸ νούσου ἀποθανεῖν τὸν ἐπεστεῶτα τῆς διώρυχος Ἀρταχαίην, δόκιμον ἐόντα παρὰ Ξέρξῃ καὶ γένος Ἀχαιμενίδην . . . ὥστε Ξέρξην συμφορὴν ποιησάμενον μεγάλην ἐξενεῖκαί τε αὐτὸν κάλλιστα καὶ θάψαι· ἐτυμβοχόεε δὲ πᾶσα ἡ στρατιή.

ib. 180: τὴν μὲν δὴ Τροιζηνίην, τῆς ἦρχε Πρηξῖνος, αὐτίκα αἱρέουσι ἐπισπόμενοι οἱ βάρβαροι· καὶ ἔπειτα τῶν ἐπιβατέων αὐτῆς τὸν καλλιστεύοντα ἀγαγόντες ἐπὶ τὴν πρῴρην τῆς νεὸς ἔσφαξαν.

ib. 191: ἡμέρας . . . ἐχείμαζε τρεῖς· τέλος δὲ

2 Περσίδα γῆν] Πέρσας ABCP 19 φράζοντες C 38 τῆς πρώρης AB (πρό-) CP

ἔντομά τε ποιεῦντες καὶ καταείδοντες βοῇσι οἱ μάγοι τῷ ἀνέμῳ, πρὸς δὲ τούτοισι καὶ τῇ Θέτι καὶ τῇσι Νηρηΐσι θύοντες ἔπαυσαν τετάρτῃ ἡμέρῃ, ἢ ἄλλως κως αὐτὸς ἐθέλων ἐκόπασε.

ib. 194: ἀνακρεμασθέντος . . . αὐτοῦ (sc. Σανδώκου) λογιζόμενος ὁ Δαρεῖος εὗρέ οἱ πλέω ἀγαθὰ τῶν ἁμαρτημάτων πεποιημένα ἐς οἶκον τὸν βασιλήϊον· εὑρὼν δὲ τοῦτο ὁ Δαρεῖος καὶ γνοὺς ὡς ταχύτερα αὐτὸς ἢ σοφώτερα ἐργασμένος εἴη, ἔλυσε.

ib. VIII, 24: Ξέρξης ἑτοιμασάμενος τὰ περὶ τοὺς νεκροὺς ἔπεμπε ἐς τὸν ναυτικὸν στρατὸν κήρυκα. προετοιμάσατο δὲ τάδε· ὅσοι τοῦ στρατοῦ τοῦ ἑωυτοῦ ἦσαν νεκροὶ ἐν Θερμοπύλῃσι (ἦσαν δὲ καὶ δύο μυριάδες), ὑπολιπόμενος τούτων ὡς χιλίους, τοὺς λοιποὺς τάφρους ὀρυξάμενος ἔθαψε, φυλλάδα τε ἐπιβαλὼν καὶ γῆν ἐπαμησάμενος, ἵνα μὴ ὀφθείησαν ὑπὸ τοῦ ναυτικοῦ στρατοῦ.

ib. 54: σχὼν . . . παντελέως τὰς Ἀθήνας Ξέρξης . . . συγκαλέσας Ἀθηναίων τοὺς φυγάδας, ἑωυτῷ δὲ ἑπομένους, ἐκέλευε τρόπῳ τῷ σφετέρῳ θῦσαι τὰ ἱρὰ ἀναβάντας ἐς τὴν ἀκρόπολιν, εἴτε δὴ ὦν ὄψιν τινὰ ἰδὼν ἐνυπνίου ἐνετέλλετο ταῦτα, εἴτε καὶ ἐνθύμιόν οἱ ἐγένετο ἐμπρήσαντι τὸ ἱρόν. οἱ δὲ φυγάδες τῶν Ἀθηναίων ἐποίησαν τὰ ἐντεταλμένα. τοῦ δὲ εἵνεκεν τούτων ἐπεμνήσθην, φράσω.

ib. 55: ἔστι ἐν τῇ ἀκροπόλι ταύτῃ Ἐρεχθέος τοῦ γηγενέος λεγομένου εἶναι νηός, ἐν τῷ ἐλαίη τε καὶ θάλασσα ἔνι, τὰ λόγος παρ' Ἀθηναίων Ποσειδέωνά τε καὶ Ἀθηναίην ἐρίσαντας περὶ τῆς χώρης μαρτύρια θέσθαι. ταύτην ὦν τὴν ἐλαίην ἅμα τῷ ἄλλῳ ἱρῷ κατέλαβε ἐμπρησθῆναι ὑπὸ τῶν βαρβάρων· δευτέρῃ δὲ ἡμέρῃ ἀπὸ τῆς ἐμπρήσιος Ἀθηναίων οἱ θύειν ὑπὸ βασιλέος κελευόμενοι ὡς ἀνέβησαν ἐς τὸ ἱρόν, ὥρων βλαστὸν ἐκ τοῦ στελέχεος ὅσον τε πηχυαῖον ἀναδεδραμηκότα. οὗτοι μέν νυν ταῦτα ἔφρασαν.

ib. 99: ἡ μὲν δὴ πρώτη ἐς Σοῦσα ἀγγελίη ἀπικομένη, ὡς ἔχοι Ἀθήνας Ξέρξης, ἔτερψε οὕτω δή τι Περσέων τοὺς ὑπολειφθέντας ὡς τάς τε ὁδοὺς μυρσίνῃ πάσας ἐστόρεσαν καὶ ἐθυμίων θυμιήματα καὶ αὐτοὶ ἦσαν ἐν θυσίῃσί τε καὶ εὐπαθείῃσι· ἡ δὲ δευτέρη σφι ἀγγελίη ἐπεσελθοῦσα συνέχεε οὕτω ὥστε τοὺς κιθῶνας κατερρήξαντο πάντες, βοῇ τε καὶ οἰμωγῇ ἐχρέωντο ἀπλέτῳ, Μαρδόνιον ἐν αἰτίῃ τιθέντες.

1 βοῇσι Ma γόησι L 6 εὗρέ οἱ om. ABC 37 ἐπεξελθοῦσα L corr. Reiske 38 κατηρείξαντο Cobet

ib. 109: (Θεμιστοκλέης·) τάδε . . . οὐκ ἡμεῖς κατεργασάμεθα, ἀλλὰ θεοί τε καὶ ἥρωες, οἳ ἐφθόνησαν ἄνδρα ἕνα τῆς τε Ἀσίης καὶ τῆς Εὐρώπης βασιλεῦσαι, ἐόντα ἀνόσιόν τε καὶ ἀτάσθαλον· ὃς τά τε ἱρὰ καὶ τὰ ἴδια ἐν ὁμοίῳ ἐποιέετο, ἐμπιπράς τε καὶ καταβάλλων τῶν θεῶν τὰ ἀγάλματα· ὃς καὶ τὴν θάλασσαν ἀπεμαστίγωσε πέδας τε κατῆκε.

ib. 115: ἐν Μακεδονίῃ . . . καὶ τὸ ἱρὸν ἅρμα καταλιπὼν τοῦ Διός, ὅτε ἐπὶ τὴν Ἑλλάδα ἤλαυνε, ἀπιὼν οὐκ ἀπέλαβε (Ξέρξης).

ib. IX, 24: ἀπικομένης . . . τῆς ἵππου ἐς τὸ στρατόπεδον πένθος ἐποιήσαντο Μασιστίου πᾶσά τε ἡ στρατιὴ καὶ Μαρδόνιος μέγιστον, σφέας τε αὐτοὺς κείροντες καὶ τοὺς ἵππους καὶ τὰ ὑποζύγια οἰμωγῇ τε χρεώμενοι ἀπλέτῳ.

ib. 110: ἐν ἡμέρῃ τῇ ἐγένετο βασιλεύς . . . καὶ τὴν κεφαλὴν σμᾶται μοῦνον βασιλεὺς καὶ Πέρσας δωρέεται.

Ctesias

(post 397 scripsit)

vid. sub Athenaeo, Tertulliano, Photio et Eustathio.

Agathocles

(eodem tempore scripsit)

vid. sub Athenaeo.

Xenophon

(c. 430 — c. 354 vixit)

oecon. (ed. Thalheim) IV, 24: (Κῦρος·) θαυμάζεις τοῦτο, [ἔφη], ὦ Λύσανδρε; ὄμνυμί σοι τὸν Μίθρην, ὅτανπερ ὑγιαίνω, μηπώποτε δειπνῆσαι πρὶν ἱδρῶσαι ἢ τῶν πολεμικῶν τι ἢ τῶν γεωργικῶν ἔργων μελετῶν ἢ ἀεὶ ἕν γέ τι φιλοτιμούμενος.

exped. Cyr. (ed. Gemoll) IV, 5, 35: καὶ αὐτὸν (sc. τὸν κώμαρχον) τότε μὲν ᾤχετο ἄγων ὁ Ξενοφῶν πρὸς τοὺς ἑαυτοῦ οἰκέτας, καὶ ἵππον ὃν εἰλήφει παλαίτερον δίδωσι τῷ κωμάρχῳ ἀναθρέψαντι καταθῦσαι, ὅτι ἤκουεν αὐτὸν ἱερὸν εἶναι τοῦ Ἡλίου, δεδιὼς μὴ ἀποθάνῃ· ἐκεκάκωτο γὰρ ὑπὸ τῆς πορείας· αὐτὸς δὲ τῶν πώλων λαμβάνει, καὶ τῶν ἄλλων [στρατηγῶν καὶ] λοχαγῶν ἔδωκεν ἑκάστῳ πῶλον.

instit. Cyr. (ed. Gemoll) I, 2, 16: καὶ νῦν . . . ἔτι ἐμμένει μαρτύρια καὶ τῆς μετρίας διαίτης αὐτῶν (sc. Περσῶν)

14 ἐγίνετο A ὁ βασιλεύς RV(S) Athen. dipnos. IV, 27. 146 b
15 Πέρσαις Athen. 17 ἔφη del. Schenkl φάναι Schaefer
19 ἓν] ὧν Stephanus 27 [στρατηγῶν καὶ] Matthias

καὶ τοῦ ἐκπονεῖσθαι τὴν δίαιταν. αἰσχρὸν μὲν γὰρ ἔτι καὶ νῦν ἐστι Πέρσαις καὶ τὸ πτύειν καὶ τὸ ἀπομύττεσθαι καὶ τὸ φύσης μεστοὺς φαίνεσθαι, αἰσχρὸν δέ ἐστι καὶ τὸ ἰόντα ποι φανερὸν γενέσθαι ἢ τοῦ οὐρῆσαι ἕνεκα ἢ καὶ ἄλλου τινὸς τοιούτου. ταῦτα δὲ οὐκ ἂν ἐδύναντο ποιεῖν, εἰ μὴ καὶ διαίτῃ μετρίᾳ ἐχρῶντο καὶ τὸ ὑγρὸν ἐκπονοῦντες ἀνήλισκον, ὥστε ἄλλῃ πῃ ἀποχωρεῖν.

ib. 4, 27 s.: λέγεται, ὅτε Κῦρος ἀπῄει καὶ ἀπηλλάττοντο ἀπ' ἀλλήλων, τοὺς συγγενεῖς φιλοῦντας τῷ στόματι ἀποπέμπεσθαι αὐτὸν νόμῳ Περσικῷ· καὶ γὰρ νῦν ἔτι τοῦτο ποιοῦσι Πέρσαι· ἄνδρα δέ τινα τῶν Μήδων μάλα καλὸν κἀγαθὸν ὄντα ἐκπεπλῆχθαι πολύν τινα χρόνον ἐπὶ τῷ κάλλει τοῦ Κύρου, ἡνίκα δὲ ἑώρα τοὺς συγγενεῖς φιλοῦντας αὐτόν, ὑπολειφθῆναι· ἐπεὶ δ' οἱ ἄλλοι ἀπῆλθον, προσελθεῖν τῷ Κύρῳ καὶ εἰπεῖν, Ἐμὲ μόνον οὐ γιγνώσκεις, ὦ Κῦρε, τῶν συγγενῶν; Τί δέ, εἰπεῖν τὸν Κῦρον, ἦ καὶ σὺ συγγενὴς εἶ; Μάλιστα, φάναι. Ταῦτ' ἄρα, εἰπεῖν τὸν Κῦρον, καὶ ἐνεώρας μοι· πολλάκις γὰρ δοκῶ σε γιγνώσκειν τοῦτο ποιοῦντα. Προσελθεῖν γάρ σοι, ἔφη, ἀεὶ βουλόμενος ναὶ μὰ τοὺς θεοὺς ᾐσχυνόμην. Ἀλλ' οὐκ ἔδει, φάναι τὸν Κῦρον, συγγενῆ γε ὄντα· ἅμα δὲ προσελθόντα φιλῆσαι αὐτόν. 28. καὶ τὸν Μῆδον φιληθέντα ἐρέσθαι, Ἦ καὶ ἐν Πέρσαις νόμος ἐστὶν οὗτος συγγενεῖς φιλεῖν; Μάλιστα, φάναι, ὅταν γε ἴδωσιν ἀλλήλους διὰ χρόνου ἢ ἀπίωσί ποι ἀπ' ἀλλήλων. Ὥρα ἂν εἴη, ἔφη ὁ Μῆδος, μάλα πάλιν σε φιλεῖν ἐμέ· ἀπέρχομαι γάρ, ὡς ὁρᾷς, ἤδη. οὕτω καὶ τὸν Κῦρον φιλήσαντα πάλιν ἀποπέμπειν καὶ ἀπιέναι. καὶ ὁδόν τε οὔπω πολλὴν διηνύσθαι αὐτοῖς καὶ τὸν Μῆδον ἥκειν πάλιν ἱδροῦντι τῷ ἵππῳ· καὶ τὸν Κῦρον ἰδόντα, Ἀλλ' ἦ, φάναι, ἐπελάθου τι ὧν ἐβούλου εἰπεῖν; Μὰ Δία, φάναι, ἀλλ' ἥκω διὰ χρόνου. καὶ τὸν Κῦρον εἰπεῖν, Νὴ Δί', ὦ σύγγενες, δι' ὀλίγου γε. Ποίου ὀλίγου; εἰπεῖν τὸν Μῆδον. οὐκ οἶσθα, φάναι, ὦ Κῦρε, ὅτι καὶ ὅσον σκαρδαμύττω χρόνον, πάνυ πολύς μοι δοκεῖ εἶναι, ὅτι οὐχ ὁρῶ σε τότε τοιοῦτον ὄντα; ἐνταῦθα δὴ τὸν Κῦρον γελάσαι τε ἐκ τῶν ἔμπροσθεν δακρύων καὶ εἰπεῖν αὐτῷ θαρρεῖν ἀπιόντι, ὅτι παρέσται αὐτοῖς ὀλίγου χρόνου, ὥστε ὁρᾶν ἐξέσται κἂν βούληται ἀσκαρδαμυκτί.

ib. 6, 1: Κῦρος . . . ἐλθὼν οἴκαδε καὶ προσευξά-

4 ποι Heindorf που codd 20 οὐκ ἔδει] οὐ δοκεῖ C(Parisinus 1640) E(tonensis) A(Paris. 1635) G(uelferbyt. 71, 19) H(Escorialensis T III 14) 22 ἦ] εἰ R (Bremensis) 28 διερύσθαι CEAGH διεληλύσθαι D (Bodleianus) F (Erlangensis) αὐτοὺς AGH αὐτῷ R 36 ἀπιόντα DF 37 ὁρᾶν σοι et βούλη D

μενος Ἑστίᾳ πατρῴᾳ καὶ Διὶ πατρῴῳ καὶ τοῖς ἄλλοις θεοῖς ὡρμᾶτο ἐπὶ τὴν στρατείαν, συμπρούπεμπε δὲ αὐτὸν καὶ ὁ πατήρ. ἐπεὶ δὲ ἔξω τῆς οἰκίας ἐγένοντο, λέγονται ἀστραπαὶ καὶ βρονταὶ αὐτῷ αἴσιοι γενέσθαι. τούτων δὲ φανέντων οὐδὲν ἄλλο ἔτι οἰωνιζόμενοι ἐπορεύοντο, ὡς οὐδένα ἀγνοήσαντα τὰ τοῦ μεγίστου θεοῦ σημεῖα.

ib. 6, 33: ἐγένετο . . . ἐκ τούτων ῥήτρα, ᾗ καὶ νῦν χρώμεθα ἔτι, ἁπλῶς διδάσκειν τοὺς παῖδας ὥσπερ τοὺς οἰκέτας πρὸς ἡμᾶς αὐτοὺς διδάσκομεν ἀληθεύειν καὶ μὴ ἐξαπατᾶν καὶ μὴ πλεονεκτεῖν· εἰ δὲ παρὰ ταῦτα ποιοῖεν, κολάζειν, ὅπως σὺν τοιούτῳ ἔθει [ἐθισθέντες] πρᾳότεροι πολῖται γένοιντο.

ib. II, 1, 1: ἐπεὶ . . . αὐτοῖς (sc. Κύρῳ καὶ τῷ πατρὶ αὐτοῦ) αἰετὸς δεξιὸς φανεὶς προηγεῖτο, προσευξάμενοι θεοῖς καὶ ἥρωσι τοῖς Περσίδα γῆν κατέχουσιν ἵλεως καὶ εὐμενεῖς πέμπεν σφᾶς, οὕτω διέβαινον τὰ ὅρια. ἐπειδὴ δὲ διέβησαν, προσηύχοντο αὖθις θεοῖς τοῖς Μηδίαν γῆν κατέχουσιν ἵλεως καὶ εὐμενεῖς δέχεσθαι αὐτούς.

ib. 3, 1: (Κῦρος καὶ οὓς καλοίη ἐπὶ δεῖπνον) τὰς τρίτας σπονδὰς ποιήσαντες καὶ εὐξάμενοι τοῖς θεοῖς τἀγαθὰ τὴν σκηνὴν εἰς κοίτην διέλυον.

ib. III, 3, 21 s.: ὁ . . . Κῦρος ἔθυε πρῶτον μὲν Διὶ βασιλεῖ, ἔπειτα δὲ καὶ τοῖς ἄλλοις θεοῖς καὶ ᾐτεῖτο ἵλεως καὶ εὐμενεῖς ὄντας ἡγεμόνας γενέσθαι τῇ στρατιᾷ καὶ παραστάτας ἀγαθοὺς καὶ συμμάχους καὶ συμβούλους τῶν ἀγαθῶν. 22. συμπαρεκάλει δὲ καὶ ἥρωας γῆς Μηδίας οἰκήτορας καὶ κηδεμόνας. ἐπεὶ δ' ἐκαλλιέρησέ τε καὶ ἀθρόον ἦν αὐτῷ τὸ στράτευμα πρὸς τοῖς ὁρίοις, τότε δὴ οἰωνοῖς χρησάμενος αἰσίοις ἐνέβαλεν εἰς τὴν πολεμίαν. ἐπεὶ δὲ τάχιστα διέβη τὰ ὅρια, ἐκεῖ αὖ καὶ Γῆν ἱλάσκετο χοαῖς καὶ θεοὺς θυσίαις καὶ ἥρωας Ἀσσυρίας οἰκήτορας εὐμενίζετο. ταῦτα δὲ ποιήσας αὖθις Διὶ πατρῴῳ ἔθυε, καὶ εἴ τις ἄλλος θεῶν ἀνεφαίνετο, οὐδενὸς ἠμέλει.

ib. IV, 5, 14: ἐπεὶ . . . ἡμέρα ὑπέφαινε, πρῶτον μὲν τοὺς μάγους καλέσας ὁ Κῦρος τὰ τοῖς θεοῖς νομιζόμενα ἐπὶ τοῖς τοιούτοις ἀγαθοῖς ἐξαιρεῖσθαι ἐκέλευε.

5 ἄλλο om. DF 6 οὐδένα ἀγνοήσαντα Gemoll οὐδένα ἂν λήσαντα CEAH οὐδένα ἂν λύσαντα GR οὐδὲν ἄλλο ἀύσαντα D οὐδένα (δ et α corr.) ἂν ὀλλ οὐ ἀ(expuncta)λύσαντα F οὐδένα λήσοντα Dindorf οὐδὲν ἂν λῦσαν Rehdantz 10 post ἐξαπατᾶν add. μηδὲ κλέπτειν DF τὸν δὲ παρὰ ταῦτα ποιοῦντα DF 11 [ἐθισθέντες] Lincke 15 κατέχουσιν CEAFG ἔχουσιν DF 18 ἔχουσιν DF 23 καὶ ᾐτεῖτο CEDF οὓς ἡγεῖτο AGH del. Li 24 post ἡγεμόνας add. ἂν Hartman 27 ἡγεμόνας CE 34 ἐπεὶ] ἔτι CE καὶ πρῶτον CE

ib. V, 2, 17: ἐπ' οὐδενὶ . . . βρώματι οὐδὲ πώματι Πέρσης ἀνὴρ τῶν πεπαιδευμένων οὔτ' ἂν ὄμμασι ἐκπεπληγμένος καταφανὴς γένοιτο οὔτε ἁρπαγῇ οὔτε τῷ νῷ μὴ οὐχὶ προσκοπεῖν ἅπερ ἂν καὶ μὴ ἐπὶ σίτῳ ὤν· ἀλλ' ὥσπερ οἱ ἱππικοὶ διὰ τὸ μὴ ταράττεσθαι ἐπὶ τῶν ἵππων δύνανται ἅμα ἱππεύοντες καὶ ὁρᾶν καὶ ἀκούειν καὶ λέγειν τὸ δέον, οὕτω κἀκεῖνοι ἐν τῷ σίτῳ οἴονται δεῖν φρόνιμοι καὶ μέτριοι φαίνεσθαι· τὸ δὲ κεκινῆσθαι ὑπὸ τῶν βρωμάτων καὶ τῆς πόσεως πάνυ αὐτοῖς ὑικὸν καὶ θηριῶδες δοκεῖ εἶναι.

ib. VII, 1, 1: ὁ . . . Κῦρος . . . αἰτησάμενος Δία πατρῷον ἡγεμόνα εἶναι καὶ σύμμαχον ἀνέβαινεν ἐπὶ τὸν ἵππον.

ib. 1, 3: ἐπεὶ . . . ἔστη (Κῦρος) ἀποβλέπων ᾗπερ ἔμελλε πορεύεσθαι, βροντὴ δεξιὰ ἐφθέγξατο· ὁ δ' εἶπεν, Ἑψόμεθά σοι, ὦ Ζεῦ μέγιστε.

ib. 1, 4: παρηγγύησε . . . (Κῦρος) παρορᾶν πρὸς τὸ σημεῖον καὶ ἐν ἴσῳ ἕπεσθαι· ἦν δὲ αὐτῷ τὸ σημεῖον αἰετὸς χρυσοῦς ἐπὶ δόρατος μακροῦ ἀνατεταμένος. καὶ νῦν δ' ἔτι τοῦτο τὸ σημεῖον τῷ Περσῶν βασιλεῖ διαμένει.

ib. 3, 5: τοὺς . . . εὐνούχους καὶ τοὺς θεράποντας αὐτοῦ (sc. τοῦ Ἀβραδάτου) ὀρύττειν φασὶν ἐπὶ λόφου τινὸς θήκην τῷ τελευτήσαντι.

ib. 14: ἡ . . . γυνὴ . . . τῇ . . . τροφῷ . . . ἐπέταξεν . . . ἐπειδὰν ἀποθάνῃ, περικαλύψαι αὐτήν τε καὶ τὸν ἄνδρα ἑνὶ ἱματίῳ.

ib. VII, 5, 22: (Κῦρος·) ἔχομεν σύμμαχον θεὸν Ἥφαιστον.

ib. 53: (Ἀρτάβαζος·) μὰ τὸν Μίθρην ἐγώ τοι ἐχθές, εἰ μὴ πολλοῖς διεπύκτευσα, οὐκ ἄν σοι ἐδυνάμην προσελθεῖν.

ib. 57: ἐπεὶ . . . εἰσῆλθεν ὁ Κῦρος, πρῶτον μὲν Ἑστίᾳ ἔθυσεν, ἔπειτα Διὶ βασιλεῖ καὶ εἴ τινι ἄλλῳ θεῷ οἱ μάγοι ἐξηγοῦντο.

ib. VIII, 1, 23 s.: τότε πρῶτον κατεστάθησαν οἱ μάγοι * * * ὑμνεῖν τε ἀεὶ ἅμα τῇ ἡμέρᾳ τοὺς θεοὺς καὶ θύειν

2 ἐμπεπληγμένος G 3 καὶ καταφανὴς CEAH ⟨ἐν⟩ τῷ νῷ vel 4 προσκοπεῖν ⟨δυνάμενος⟩ Richards προνοεῖν D σκοπεῖν πρὸς Tillmann μὴ om. AGH 9 ὑικὸν CE συικὸν AH κυνικὸν DG καὶ θηριῶδες del. Cobet ἐδόκει AGH 35 τότε — μάγοι et οὕτω — βασιλεῖ susp. Li qui ὕμνει et ἔθυεν praefert, lacunam statuit Hug 36 ὕμνει et ἔθυεν VAGH τοὺς θεοὺς ἅπαντας DF om. CE

ἀν' ἑκάστην ἡμέραν οἷς οἱ μάγοι θεοῖς εἴποιεν. 24. οὕτω δὴ τὰ τότε κατασταθέντα ἔτι καὶ νῦν διαμένει παρὰ τῷ ἀεὶ ὄντι βασιλεῖ.

ib. 42: ἐμελέτησε (Κῦρος) . . . καὶ ὡς μὴ πτύοντες μηδὲ ἀπομυττόμενοι φανεροὶ εἶεν.

ib. 3, 11 s.: ἐπεὶ . . . ἀνεπετάννυντο αἱ τοῦ βασιλείου πύλαι, πρῶτον μὲν ἤγοντο τῷ Διὶ ταῦροι πάγκαλοι εἰς τέτταρας καὶ οἷς τῶν ἄλλων θεῶν οἱ μάγοι ἐξηγοῦντο· πολὺ γὰρ οἴονται Πέρσαι χρῆναι τοῖς περὶ τοὺς θεοὺς μᾶλλον τεχνίταις χρῆσθαι ἢ περὶ τἆλλα. 12. μετὰ δὲ τοὺς βοῦς ἵπποι ἤγοντο θῦμα τῷ Ἡλίῳ· μετὰ δὲ τούτους ἐξήγετο ἅρμα λευκὸν χρυσόζυγον ἐστεμμένον Διὸς ἱερόν· μετὰ δὲ τοῦτο Ἡλίου ἅρμα λευκόν, καὶ τοῦτο ἐστεμμένον ὥσπερ τὸ πρόσθεν· μετὰ δὲ τοῦτο ἄλλο τρίτον ἅρμα ἐξήγετο, φοινικίσι καταπεπταμένοι οἱ ἵπποι, καὶ πῦρ ὄπισθεν αὐτοῦ ἐπ' ἐσχάρας μεγάλης ἄνδρες εἵποντο φέροντες.

ib. 24: ἐπεὶ . . . ἀφίκοντο πρὸς τὰ τεμένη, ἔθυσαν τῷ Διὶ καὶ ὡλοκαύτησαν τοὺς ταύρους· ἔπειτα τῷ Ἡλίῳ καὶ ὡλοκαύτησαν τοὺς ἵππους· ἔπειτα Γῇ σφάξαντες ὡς ἐξηγήσαντο οἱ μάγοι ἐποίησαν· ἔπειτα δὲ ἥρωσι τοῖς Συρίαν ἔχουσι.

ib. 4, 12: πρὸς ταῦτα ὁ Ὑστάσπας εἶπε, Νὴ τὴν Ἥραν, ὦ Κῦρε, ἥδομαί γε ταῦτά σε ἐρωτήσας.

ib. 7, 3: εὐθὺς . . . λαβὼν ἱερεῖα ἔθυε (ὁ Κῦρος) Διί τε πατρῴῳ καὶ Ἡλίῳ καὶ τοῖς ἄλλοις θεοῖς ἐπὶ τῶν ἄκρων, ὡς Πέρσαι θύουσιν, ὧδε ἐπευχόμενος, Ζεῦ πατρῷε καὶ Ἥλιε καὶ πάντες θεοί, δέχεσθε τάδε καὶ τελεστήρια πολλῶν καὶ καλῶν πράξεων καὶ χαριστήρια ὅτι ἐσημήνατέ μοι καὶ ἐν ἱεροῖς καὶ ἐν οὐρανίοις σημείοις καὶ ἐν οἰωνοῖς καὶ ἐν φήμαις ἅ τ' ἐχρῆν ποιεῖν καὶ ἃ οὐκ ἐχρῆν.

ib. 17 s.: (Κῦρος·) πρὸς θεῶν πατρῴων, ὦ παῖδες, τιμᾶτε ἀλλήλους, εἴ τι καὶ τοῦ ἐμοὶ χαρίζεσθαι μέλει ὑμῖν· οὐ γὰρ δήπου τοῦτό γε σαφῶς δοκεῖτε εἰδέναι ὡς οὐδὲν ἔτι ἐγὼ ἔσομαι, ἐπειδὰν τοῦ ἀνθρωπίνου βίου τελευτήσω· οὐδὲ γὰρ νῦν τοι τήν γ' ἐμὴν ψυχὴν ἑωρᾶτε, ἀλλ' οἷς διεπράττετο, τούτοις αὐτὴν ὡς οὖσαν κατεφωρᾶτε. 18. τὰς δὲ τῶν ἄδικα παθόντων ψυχὰς οὔπω κατενοήσατε οἵους μὲν φόβους τοῖς μιαιφόνοις ἐμβάλλουσιν,

7 ἠγοῦντο CE 9 πολύ] πολλοὶ AGH 10 τἆλλα del. Li
26 πατρῷε] πάτερ CE 27 τελευτήρια CEF 28 εὐχαριστήρια F
29 καὶ ἐν οἰωνοῖς om. F 34 ἔτι ἐγὼ ἔσομαι] εἰμὶ ἐγὼ ἔτι CEAGHV
36 διεπέπρακτο CE

οἵους δὲ παλαμναίους τοῖς ἀνοσίοις ἐπιπέμπουσι; τοῖς δὲ φθιμένοις τὰς τιμὰς διαμένειν ἔτι ἂν δοκεῖτε, εἰ μηδενὸς αὐτῶν αἱ ψυχαὶ κύριαι ἦσαν; 19. οὔτοι ἔγωγε, ὦ παῖδες, οὐδὲ τοῦτο πώποτε ἐπείσθην ὡς ἡ ψυχὴ ἕως μὲν ἂν ἐν θνητῷ σώματι ᾖ, ζῇ, ὅταν δὲ τούτου ἀπαλλαγῇ, τέθνηκεν· ὁρῶ γὰρ ὅτι καὶ τὰ θνητὰ σώματα ὅσον ἂν χρόνον ἐν αὐτοῖς ᾖ ἡ ψυχή, ζῶντα παρέχεται. 20. οὐδέ γε ὅπως ἄφρων ἔσται ἡ ψυχή, ἐπειδὰν τοῦ ἄφρονος σώματος δίχα γένηται, οὐδὲ τοῦτο πέπεισμαι· ἀλλ' ὅταν ἄκρατος καὶ καθαρὸς ὁ νοῦς ἐκκριθῇ, τότε καὶ φρονιμώτατον αὐτοῦ εἰκὸς εἶναι. διαλυομένου δὲ ἀνθρώπου δῆλά ἐστιν ἕκαστα ἀπιόντα πρὸς τὸ ὁμόφυλον πλὴν τῆς ψυχῆς. αὕτη δὲ μόνη οὔτε παροῦσα οὔτε ἀπιοῦσα ὁρᾶται. 21. ἐννοήσατε δ', ἔφη, ὅτι ἐγγύτερον μὲν τῶν ἀνθρωπίνων θανάτῳ οὐδέν ἐστιν ὕπνου· ἡ δὲ τοῦ ἀνθρώπου ψυχὴ τότε δήπου θειοτάτη καταφαίνεται καὶ τότε τι τῶν μελλόντων προορᾷ· τότε γάρ, ὡς ἔοικε, μάλιστα ἐλευθεροῦται. 22. εἰ μὲν οὖν οὕτως ἔχει ταῦτα ὥσπερ ἐγὼ οἴομαι καὶ ἡ ψυχὴ καταλείπει τὸ σῶμα, καὶ τὴν ἐμὴν ψυχὴν καταιδούμενοι ποιεῖτε ἃ ἐγὼ δέομαι· εἰ δὲ μὴ οὕτως, ἀλλὰ μένουσα ἡ ψυχὴ ἐν τῷ σώματι συναποθνῄσκει, ἀλλὰ θεούς γε τοὺς ἀεὶ ὄντας καὶ πάντ' ἐφορῶντας καὶ πάντα δυναμένους, οἳ καὶ τήνδε τὴν τῶν ὅλων τάξιν συνέχουσιν ἀτριβῆ καὶ ἀγήρατον καὶ ἀναμάρτητον καὶ ὑπὸ κάλλους καὶ μεγέθους ἀδιήγητον, τούτους φοβούμενοι μήποτ' ἀσεβὲς μηδὲν μηδὲ ἀνόσιον μήτε ποιήσητε μήτε βουλεύσητε.

ib. 25: τὸ . . . ἐμὸν σῶμα, ὦ παῖδες, ὅταν τελευτήσω, μήτε ἐν χρυσῷ θῆτε μήτε ἐν ἀργύρῳ μήτε ἐν ἄλλῳ μηδενί, ἀλλὰ τῇ γῇ ὡς τάχιστα ἀπόδοτε. τί γὰρ τούτου μακαριώτερον τοῦ γῇ μειχθῆναι, ἣ πάντα μὲν τὰ καλά, πάντα δὲ τἀγαθὰ φύει τε καὶ τρέφει; ἐγὼ δὲ καὶ ἄλλως φιλάνθρωπος ἐγενόμην καὶ νῦν ἡδέως ἄν μοι δοκῶ κοινωνῆσαι τοῦ εὐεργετοῦντος ἀνθρώπους.

ib. 8, 8: νόμιμον . . . ἦν αὐτοῖς μήτε πτύειν μήτε ἀπομύττεσθαι. δῆλον δέ, ὅτι ταῦτα οὐ τοῦ ἐν τῷ σώματι ὑγροῦ φειδόμενοι ἐνόμισαν, ἀλλὰ βουλόμενοι διὰ πόνων καὶ ἱδρῶτος τὰ σώματα στερεοῦσθαι. νῦν δὲ τὸ μὲν μὴ πτύειν μηδὲ ἀπομύττεσθαι ἔτι διαμένει, τὸ δ' ἐκπονεῖν οὐδαμοῦ ἐπιτηδεύεται.

10 φρονιμώτερον F αὐτοῦ Gemoll αὐτὸν codd. 11 εἰκὸς αὐτὸν AGHDV 14 τῷ ἀνθρωπίνῳ AGHV 16 τι καὶ τῶν F 23 συνκρατοῦσιν F ἀκριβῆ CEVAH ἀκήρατον CEAGHV ἄκρατον D 24 καὶ ἀναμάρτητον om. G κάλλους] τάχους DF et (inverso ordine μεγέθους καὶ τάχους E) CE 25 μήποι CEVAH

ib. 11: κἀκεῖνο ἦν αὐτοῖς ἐπιχώριον τὸ μεταξὺ πορευομένους μήτε ἐσθίειν μήτε πίνειν μήτε τῶν διὰ ταῦτα ἀναγκαίων μηδὲν ποιοῦντας φανεροὺς εἶναι· νῦν δ' αὖ τὸ μὲν τούτων ἀπέχεσθαι ἔτι διαμένει, τὰς μέντοι πορείας οὕτω βραχείας ποιοῦνται ὡς μηδέν' ἂν ἔτι θαυμάσαι τὸ ἀπέχεσθαι τῶν ἀναγκαίων.

Agesil. (ed. Thalheim) 5, 4: τὸ μὲν ... ὧν μὴ ἐπεθύμησεν ἀπέχεσθαι ἀνθρώπινον ἄν τις φαίη εἶναι· τὸ δὲ Μεγαβάτου τοῦ Σπιθριδάτου παιδὸς ἐρασθέντα ὥσπερ ἂν τοῦ καλλίστου ἡ σφοδροτάτη φύσις ἐρασθείη, ἔπειτα ἡνίκα ἐπιχωρίου ὄντος τοῖς Πέρσαις φιλεῖν οὓς ἂν τιμῶσιν ἐπεχείρησε καὶ ὁ Μεγαβάτης φιλῆσαι τὸν Ἀγησίλαον, διαμάχεσθαι ἀνὰ κράτος τὸ μὴ φιληθῆναι, ἆρ' οὐ τοῦτό γε ἤδη τὸ σωφρόνημα καὶ δαιμόνιον;

Hermodorus

(discipulus Platonis fuit)

vid. sub Diogene Laertio.

Pseudo-Plato

(post 374 scripsit)

Alcib. I, (ed. Burnet) 121 s.: ἐπειδὰν ... γένηται ὁ παῖς ὁ πρεσβύτατος, οὗπερ ἡ ἀρχή, πρῶτον μὲν ἑορτάζουσι πάντες οἱ ἐν τῇ βασιλέως (sc. τῶν Περσῶν), ὧν ἂν ἄρχῃ, εἶτα εἰς τὸν ἄλλον χρόνον ταύτῃ τῇ ἡμέρᾳ βασιλέως γενέθλια πᾶσα θύει καὶ ἑορτάζει ἡ Ἀσία .... δὶς ἑπτὰ δὲ γενόμενον ἐτῶν τὸν παῖδα παραλαμβάνουσιν οὓς ἐκεῖνοι βασιλείους παιδαγωγοὺς ὀνομάζουσιν· εἰσὶ δὲ ἐξειλεγμένοι Περσῶν οἱ ἄριστοι δόξαντες ἐν ἡλικίᾳ τέτταρες, ὅ τε σοφώτατος καὶ ὁ δικαιότατος καὶ ὁ σωφρονέστατος καὶ ὁ ἀνδρειότατος. ὧν ὁ μὲν μαγείαν τε διδάσκει τὴν Ζωροάστρου τοῦ Ὡρομάζου — ἔστι δὲ τοῦτο θεῶν θεραπεία — διδάσκει δὲ καὶ τὰ βασιλικά, ὁ δὲ δικαιότατος ἀληθεύειν διὰ παντὸς τοῦ βίου κτλ.

Eudoxus

(c. 368/5 floruit)

vid. sub Plinio et Diogene Laertio.

5 μηδὲν DF μηδ' CEAGH corr. Stephanus 7 ὧν A (Vaticanus 1335) corr. ex ὦν 8 ἀντέχεσθαι AD (Vaticanus 1950) 13 τῷ μὴ A corr. Sauppe 14 καὶ λίαν μανικόν A corr. Schneider καὶ λίαν γεννικόν Schaefer καὶ λίαν μανόν Bornemann 19 γενέθλια T (Venetus Append. Class. 4, cod. 1) Olympiodorus γενέσια B(odleianus) καὶ ἑορτάζει secl. Cobet

Heraclides Cumanus
(c. 340 floruit)

apud Athen., dipnosoph. (ed. Kaibel) XII, 8. 514: ὡς ἱστορεῖ ὁ Κυμαῖος Ἡρακλείδης ἐν α′ Περσικῶν . . . „ὁ βασιλεὺς (τῶν Περσῶν) * * * διὰ τῆς τῶν μηλοφόρων αὐλῆς. ἦσαν δὲ οὗτοι τῶν δορυφόρων [καὶ] τῷ γένει πάντες Πέρσαι, ἐπὶ τῶν στυράκων μῆλα χρυσᾶ ἔχοντες, χίλιοι τὸν ἀριθμόν, ἀριστίνδην ἐκλεγόμενοι ἐκ τῶν μυρίων Περσῶν τῶν Ἀθανάτων καλουμένων. καὶ διῄει διὰ τῆς τούτων αὐλῆς πεζός, ὑποτιθεμένων ψιλοταπίδων Σαρδιανῶν, ἐφ’ ὧν οὐδεὶς ἄλλος ἐπέβαινεν ἢ βασιλεύς. ὅτε δὲ εἰς τὴν ἐσχάτην αὐλὴν ἔλθοι, ἀνέβαινεν ἐπὶ τὸ ἅρμα, ἐνίοτε δὲ καὶ ἐφ’ ἵππον· πεζὸς δὲ οὐδέποτε ἑωράθη ἔξω τῶν βασιλείων.“

ib. IV, 25. 145: Ἡρακλείδης . . . ὁ Κυμαῖος ὁ τὰ Περσικὰ συγγράψας ἐν τῷ δευτέρῳ τῶν ἐπιγραφομένων Παρασκευαστικῶν . . . φησί „. . . τῶν . . . τοῦ βασιλέως συνδείπνων οἱ μὲν ἔξω δειπνοῦσιν, οὓς καὶ ὁρᾶν ἔξεστι παντὶ τῷ βουλομένῳ, οἱ δὲ εἴσω μετὰ βασιλέως. καὶ οὗτοι δὲ οὐ συνδειπνοῦσιν αὐτῷ, ἀλλ’ ἔστιν οἰκήματα δύο καταντικρὺ ἀλλήλων, ἐν ᾧ ⟨θ′⟩ ὁ βασιλεὺς τὸ ἄριστον ποιεῖται καὶ ἐν ᾧ οἱ σύνδειπνοι· καὶ ὁ βασιλεὺς ἐκείνους ὁρᾷ διὰ τοῦ παρακαλύμματος τοῦ ἐπὶ τῇ θύρᾳ, ἐκεῖνοι δ’ αὐτὸν οὐχ ὁρῶσιν. ἐνίοτε μέντοι ἐπειδὰν ἑορτὴ ᾖ, ἐν ἑνὶ οἰκήματι ἅπαντες δειπνοῦσιν, ἐν ᾧ καὶ ὁ βασιλεύς, ἐν τῷ μεγάλῳ [οἴκῳ]. ὅταν δὲ βασιλεὺς πότον ποιῆται, ποιεῖται δὲ πολλάκις, συμπόται αὐτῷ εἰσιν ὡς μάλιστα δώδεκα. καὶ ὅταν δειπνήσωσιν, ὅ τε βασιλεὺς αὐτὸς καθ’ ἑαυτὸν καὶ οἱ σύνδειπνοι, καλεῖ τοὺς συμπότας τούτους τις τῶν εὐνούχων. καὶ ὅταν εἰσέλθωσι συμπίνουσιν μετ’ αὐτοῦ, οὐ τὸν αὐτὸν οἶνον κἀκεῖνοι, καὶ οἱ μὲν χαμαὶ καθήμενοι, ὁ δ’ ἐπὶ κλίνης χρυσόποδος κατακείμενος· καὶ ὑπερμεθυσθέντες ἀπέρχονται. τὰ δὲ πλεῖστα ὁ βασιλεὺς μόνος ἀριστᾷ καὶ δειπνεῖ. ἐνίοτε δὲ καὶ ἡ γυνὴ αὐτῷ συνδειπνεῖ καὶ τῶν υἱῶν ἔνιοι.“

vid. etiam sub Plutarcho.

3 hiat. not. Dobraeus 4 καὶ del. Wilamowitz 6 ἀριστήδην A (Marcianus) corr. E (Laurentianus) 19 θ′ add. Meineke 24 οἴκῳ del. Kaibel ποιῆται ποιεῖ A ποιεῖ ποιεῖται C (Parisinus) corr. Kai 28 fort. οὐ ⟨μέντοι⟩ τὸν αὐτὸν οἶνον ⟨ὃν⟩ κἀκεῖνος (vel ἐκείνῳ) Kai

Dino
(post 340 scripsit)

apud Athen., dipnosoph. (ed. Kaibel) XIV, 33. 633: τὸ . . . ἔθος τοῦτο καὶ παρὰ τοῖς βαρβάροις ἐσῴζετο, ὥς φησι Δίνων ἐν τοῖς Περσικοῖς. τὴν γοῦν Κύρου τοῦ πρώτου ἀνδρείαν καὶ τὸν μέλλοντα πόλεμον ἔσεσθαι πρὸς Ἀστυάγην προείδοντο οἱ ᾠδοί. „ὅτε γάρ, φησίν, ᾐτήσατο τὴν εἰς Πέρσας ἀποδημίαν ὁ Κῦρος . . . καὶ ἀπῆλθεν * * * εὐωχουμένου οὖν τοῦ Ἀστυάγους μετὰ τῶν φίλων τότε Ἀγγάρης ὄνομα (οὗτος δ' ἦν τῶν ᾠδῶν ὁ ἐνδοξότατος) ᾖδεν εἰσκληθεὶς τά τε ἄλλα τῶν εἰθισμένων καὶ τὸ ἔσχατον εἶπεν ὡς ἀφεῖται εἰς τὸ ἕλος θηρίον μέγα, θρασύτερον ὑὸς ἀγρίου· ὃ ἂν κυριεύσῃ τῶν καθ' αὑτὸ τόπων, πολλοῖς μετ' ὀλίγον ῥᾳδίως μαχεῖται. ἐρομένου δὲ τοῦ Ἀστυάγους 'ποῖον θηρίον'; ἔφη Κῦρον τὸν Πέρσην. νομίσας οὖν ὀρθῶς αὐτὸν ὑπωπτευκέναι καὶ μεταπεμπόμενος * * * οὐδὲν ὤνησεν".

ib. 67. 652: Δίνων . . . ἐν τοῖς Περσικοῖς φησιν· „παρετίθεντο δ' ἐπὶ τῆς τραπέζης τῆς βασιλέως ὅσα ἡ γῆ βρώματα φέρει, ἧς ἄρχει βασιλεύς, ἀφ' ἑκάστου ὅσον ἀπαρχήν. ξενικῷ δὲ οὐδενὶ οὔτε βρώματι οὔτε ποτῷ ᾤετο δεῖν ὁ Ξέρξης τοὺς βασιλεῖς χρῆσθαι· ὅθεν καὶ νόμος τις ὕστερον ἐγένετο."

vid. etiam sub Cicerone, Plutarcho, Clemente Alexandrino, Diogene Laertio et Scholiis in Nicandri Theriaca.

Aristoteles
(384—322 vixit)

metaphys. (ed. Christ) XIV, 4. 1091 b: Φερεκύδης καὶ ἕτεροί τινες, τὸ γεννῆσαν πρῶτον ἄριστον τιθέασι, καὶ οἱ Μάγοι, καὶ τῶν ὑστέρων δὲ σοφῶν, οἷον Ἐμπεδοκλῆς τε καὶ Ἀναξαγόρας, ὁ μὲν τὴν φιλίαν στοιχεῖον, ὁ δὲ τὸν νοῦν ἀρχὴν ποιήσας.

eth. Nic. (rec. Susemihl-Apelt) V, 10. (7, 2.) 1134 b: τὸ πῦρ καὶ ἐνθάδε καὶ ἐν Πέρσαις καίει.

ib. IX, 12. (10, 4.) 1160 b: ἐν Πέρσαις . . . ἡ τοῦ πατρὸς (ἀρχὴ) τυραννική (χρῶνται γὰρ ὡς δούλοις τοῖς υἱέσι).

vid. etiam sub Plinio et Diogene Laertio.

5 ἡγήσατο A (Marcianus) corr. Kaibel 6 hiat. not. Kai 8 possis Ἀγγάρης ⟨τις⟩, sed aliter haec ordinarat Dino. Kai 10 εἰς τοὺς Ἕλληνας E (Laurentianus) 11 καθ' αὐτὸν AE corr. Meineke 14 hiat. not. Kai 20 Ξέρξης Ruhnken ἐξαρχῆς A 24 καὶ οἱ Μάγοι interpolatum putare videtur Christ ὕστερον E (Parisinus 1853)

Theopompus

(376 natus est)

apud Athen., dipnosoph. (ed. Kaibel) VI, 60. 252: Θεόπομπος ... ἐν ὀκτωκαιδεκάτῃ ἱστοριῶν περὶ Νικοστράτου Ἀργείου λέγων ὡς ἐκολάκευε τὸν Περσῶν βασιλέα γράφει καὶ ταῦτα· „Νικόστρατον δὲ τὸν Ἀργεῖον πῶς οὐ χρὴ φαῦλον νομίζειν, ὃς προστάτης γενόμενος τῆς Ἀργείων πόλεως καὶ παραλαβὼν καὶ γένος καὶ χρήματα καὶ πολλὴν οὐσίαν παρὰ τῶν προγόνων ἅπαντας ὑπερεβάλετο τῇ κολακείᾳ καὶ ταῖς θεραπείαις οὐ μόνον τοὺς τότε στρατείας μετασχόντας, ἀλλὰ καὶ τοὺς ἔμπροσθεν γενομένους. πρῶτον μὲν γὰρ οὕτως ἠγάπησε τὴν παρὰ τοῦ βαρβάρου τιμὴν ὥστε βουλόμενος ἀρέσκειν καὶ πιστεύεσθαι μᾶλλον ἀνεκόμισε πρὸς βασιλέα τὸν υἱόν· ὃ τῶν ἄλλων οὐδεὶς πώποτε φανήσεται ποιήσας. ἔπειτα καθ' ἑκάστην ἡμέραν, ὁπότε μέλλοι δειπνεῖν, τράπεζαν παρετίθει χωρὶς ὀνομάζων τῷ δαίμονι τῷ βασιλέως, ἐμπλήσας σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων, ἀκούων μὲν τοῦτο ποιεῖν καὶ τῶν Περσῶν τοὺς περὶ τὰς θύρας διατρίβοντας, οἰόμενος δὲ διὰ τῆς θεραπείας ταύτης χρηματιεῖσθαι μᾶλλον παρὰ τοῦ βασιλέως· ἦν γὰρ αἰσχροκερδὴς καὶ χρημάτων ὡς οὐκ οἶδ' εἴ τις ἕτερος ἥττων."

vid. etiam sub Plutarcho, Diogene Laertio, Athenaeo et Aenea Gazaeo.

Chares Mytilenaeus

(comes Alexandri fuit)

apud Athen., dipnosoph. (ed Kaibel) XIII, 35. 575: Χάρης ὁ Μιτυληναῖος ἐν τῇ δεκάτῃ τῶν Ἱστοριῶν τῶν περὶ Ἀλέξανδρον ... γράφει ... οὕτως· „Ὑστάσπῃ νεώτερος ἦν ἀδελφὸς Ζαριάδρης, περὶ ὧν λέγουσιν οἱ ἐπιχώριοι ὅτι ἐξ Ἀφροδίτης καὶ Ἀδώνιδος ἐγεννήθησαν. ἐκυρίευσεν δὲ ὁ μὲν Ὑστάσπης Μηδίας καὶ τῆς ὑποκάτω χώρας, ὁ δὲ Ζαριάδρης τῆς ὑπεράνω Κασπίων πυλῶν μέχρι τοῦ Τανάιδος κτλ."

Aristoxenus

(discipulus Aristotelis fuit)

vid. sub Hippolyto.

Phanias

(discipulus Aristotelis fuit)

vid. sub Pseudo-Plutarcho.

9 τοὺς τῆς τότε Wilamowitz 24 et 27 Ζαριάρης Darmesteter.

Eudemus Rhodius

(ante 306 Athenis fuit)

vid. sub Diogene Laertio et Damascio.

Duris

(post 281 scripsit)

apud Athen., dipnosoph. (ed. Kaibel) X, 45. 434: γράφει . . . οὕτως περὶ τούτου (sc. τοῦ τῶν Περσῶν βασιλέως) Δοῦρις ἐν τῇ ἑβδόμῃ τῶν ἱστοριῶν· „ἐν μόνῃ τῶν ἑορτῶν τῶν ἀγομένων ὑπὸ Περσῶν τῷ Μίθρῃ βασιλεὺς μεθύσκεται καὶ τὸ Περσικὸν ὀρχεῖται· τῶν δὲ λοιπῶν οὐδεὶς κατὰ τὴν Ἀσίαν, ἀλλὰ πάντες ἀπέχονται κατὰ τὴν ἡμέραν ταύτην τῆς ὀρχήσεως. Πέρσαι γὰρ ὥσπερ ἱππεύειν οὕτω καὶ ὀρχεῖσθαι μανθάνουσι καὶ νομίζουσι τὴν ἐκ τῆς ἐργασίας ταύτης κίνησιν ἐμμελῆ τινα λαμβάνειν γυμνασίαν τῆς τοῦ σώματος ῥώμης.“

vid. etiam sub Eustathio.

Hecataeus Teius

(ineunte Ptolemaeorum aetate vixit)

vid. sub Diogene Laertio.

Phoenix

(292—289 scripsit)

apud Athen., dipnosoph. (ed. Kaibel) XII, 40. 530: Φοῖνιξ . . . ὁ Κολοφώνιος ποιητὴς περὶ ΝΙΝΟΥ λέγων ἐν τῷ πρώτῳ τῶν Ἰάμβων φησίν·

ἀνὴρ Νίνος τις ἐγένετ', ὡς ἐγὼ 'κούω,
Ἀσσύριος· ὅστις εἶχε χρυσίου πόντον . . .
οὐ παρ' μάγοισι πῦρ ἱερὸν ἀνέστησεν,
ὥσπερ νόμος, ῥάβδοισι τοῦ θεοῦ ψαύων.

Euandrus

(sub fin. 3. saec. vixit)

vid. sub Zenobio.

Hermippus

(c. 200 scripsit)

vid. sub Plinio et Diogene Laertio.

4 τῇ ἀγομένῃ Meineke 9 κίνησιν fort. delendum 14 ἐγὼ κλύω A (Marcianus) corr. Meineke 16 sic A, fort. οὐ παμμάγοισι (ῥάβδοισι)

Sotio

(c. 200—150 scripsit)

vid. sub Diogene Laertio.

Agatharchidas

(c. 130 scripsit)

vid. sub Pseudo-Plutarcho.

Polybius

(c. 201—c. 120 vixit)

hist. (ed. Buettner-Wobst) X, 27, 12: κατὰ τὴν Ἀντιόχου παρουσίαν (ἐν Ἐκβατάνοις) ὅ τε ναὸς αὐτὸς ὁ τῆς Αἴνης προσαγορευόμενος ἔτι τοὺς κίονας εἶχε τοὺς πέριξ κεχρυσωμένους, καὶ κεραμίδες ἀργυραῖ καὶ πλείους ἐν αὐτῷ συνετέθειντο, πλίνθοι δὲ χρυσαῖ τινες ὀλίγαι μὲν ἦσαν, ἀργυραῖ δὲ καὶ πλείους ὑπέμενον.

Alexander Polyhistor

(primo a. Chr. saec. vixit)

vid. sub Diogene Laertio, Cyrillo Alexandrino et Georgio Syncello.

Catullus

(84—54 vixit)

carm. (ed. B. Schmidt) 90:

nascatur magus ex Gelli matrisque nefando
coniugio et discat Persicum aruspicium:
nam magus ex matre et gnato gignatur oportet,
si vera est Persarum inpia relligio,
gratus ut accepto veneretur carmine divos
omentum in flamma pingue liquefaciens.

Diodorus Siculus

(60—30 scripsit)

bibl. hist. (ed. Vogel) I, 44, 3: (μυθολογοῦσί . . . τινες) Πέρσας . . . ἡγήσασθαι Καμβύσου τοῦ βασιλέως τοῖς ὅπλοις καταστρεψαμένου τὸ ἔθνος πέντε πρὸς τοῖς ἑκατὸν καὶ τριάκοντα ἔτεσι σὺν ταῖς τῶν Αἰγυπτίων ἀποστάσεσιν, ἃς ἐποιήσαντο φέρειν οὐ δυνάμενοι τὴν τραχύτητα τῆς ἐπιστασίας καὶ τὴν εἰς τοὺς ἐγχωρίους θεοὺς ἀσέβειαν.

11 gratus L. Mueller Vahlen gnarus Baehrens gnatus Haupt cum libris

ib. 46, 4: (παρειλήφαμεν) τὸν . . . ἄργυρον καὶ χρυσὸν καὶ τὴν δι' ἐλέφαντος καὶ λιθείας πολυτέλειαν ὑπὸ Περσῶν σεσυλῆσθαι καθ' οὓς καιροὺς ἐνέπρησε τὰ κατ' Αἴγυπτον ἱερὰ Καμβύσης.

ib. 94, 2: παρὰ . . . τοῖς Ἀριανοῖς Ζαθραύστην ἱστοροῦσι τὸν ἀγαθὸν δαίμονα προσποιήσασθαι τοὺς νόμους αὐτῷ διδόναι.

ib. 95, 4 s.: ἕκτον . . . λέγεται τὸν Ξέρξου πατέρα Δαρεῖον τοῖς νόμοις ἐπιστῆναι τοῖς τῶν Αἰγυπτίων· μισήσαντα γὰρ τὴν παρανομίαν τὴν εἰς τὰ κατ' Αἴγυπτον ἱερὰ γενομένην ὑπὸ Καμβύσου τοῦ προβασιλεύσαντος ζηλῶσαι βίον ἐπιεικῆ καὶ φιλόθεον. 5. ὁμιλῆσαι μὲν γὰρ αὐτοῖς τοῖς ἱερεῦσι τοῖς ἐν Αἰγύπτῳ καὶ μεταλαβεῖν αὐτὸν τῆς τε θεολογίας καὶ τῶν ἐν ταῖς ἱεραῖς βίβλοις ἀναγεγραμμένων πράξεων . . . καὶ διὰ τοῦτο τηλικαύτης τυχεῖν τιμῆς ὥσθ' ὑπὸ τῶν Αἰγυπτίων ζῶντα μὲν θεὸν προσαγορεύεσθαι μόνον τῶν ἁπάντων βασιλέων, τελευτήσαντα δὲ τιμῶν τυχεῖν ἴσων τοῖς τὸ παλαιὸν νομιμώτατα βασιλεύσασι κατ' Αἴγυπτον.

ib. V, 63, 1 s.: ἐν . . . τοῖς ὕστερον χρόνοις ἐπὶ τοσοῦτον ἔλαβε τὸ ἱερὸν αὔξησιν τῆς Ἡμιθέας, ὥστε . . . Πέρσας ἡγουμένους τῆς Ἀσίας καὶ πάντα τὰ τῶν Ἑλλήνων ἱερὰ συλῶντας μόνον τοῦ τῆς Ἡμιθέας τεμένους ἀποσχέσθαι . . . αἰτίαν δὲ τῆς ἐπὶ πλέον αὐξήσεως φέρουσι τὴν κοινὴν εἰς ἀνθρώπους εὐεργεσίαν· τοῖς τε γὰρ κάμνουσι κατὰ τοὺς ὕπνους ἐφισταμένην φανερῶς διδόναι τὴν θεραπείαν καὶ πολλοὺς τοῖς ἀπεγνωσμένοις πάθεσι συνεχομένους [περιτυχόντας] ὑγιασθῆναι· πρὸς δὲ τούτοις [τὸ περὶ] τὰς δυστοκούσας τῶν γυναικῶν τῆς ἐν ταῖς ὠδῖσι ταλαιπωρίας καὶ κινδύνων ἀπαλλάττειν τὴν θεόν.

ib. 77, 3 s.: περὶ μὲν οὖν τῶν θεῶν οἱ Κρῆτες τῶν παρ' αὐτοῖς λεγομένων γεννηθῆναι τοιαῦτα μυθολογοῦσι . . . 6 τὸν μὲν Ἀπόλλωνα πλεῖστον χρόνον φανῆναι περὶ Δῆλον καὶ Λυκίαν καὶ Δελφούς, τὴν δ' Ἄρτεμιν περὶ τὴν Ἔφεσον καὶ τὸν Πόντον, ἔτι δὲ τὴν Περσίδα καὶ τὴν Κρήτην· 7. διόπερ ἀπὸ τῶν τόπων ἢ πράξεων τῶν παρ' ἑκάστοις συντελεσθεισῶν τὸν μὲν Δήλιον καὶ Λύκιον

5 Ἀρειανοῖς F (Claromontanus) Ἀριμασποῖς C (Vaticanus) 12 αὐτὸν II (omnes codd. praeter A [Coislinianum] B [Antinensem] D [Vindobonensem]) 13 τῆς τε θεολογίας αὐτῶν C 16 προσαγορευθῆναι II 17 ἁπάντων] ἄλλων II 28 συνεχομένους om. CF περιτυχόντας del. Vogel 29 τὸ περὶ del Dindorf

καὶ Πύθιον ὀνομάζεσθαι, τὴν δ' Ἐφεσίαν καὶ Κρησίαν, ἔτι δὲ Ταυροπόλον καὶ Περσίαν, ἀμφοτέρων ἐν Κρήτῃ γεγεννημένων. 8. τιμᾶται δὲ καὶ παρὰ τοῖς Πέρσαις ἡ θεὸς αὕτη διαφερόντως, καὶ μυστήρια ποιοῦσιν οἱ βάρβαροι, συντελούμενα παρ' ἑτέροις μέχρι τῶν νῦν χρόνων Ἀρτέμιδι Περσίᾳ.

ib. (ed. Dindorf) XVII, 114: πᾶσι . . . τοῖς κατὰ τὴν Ἀσίαν οἰκοῦσι προσέταξε (sc. Ἀλέξανδρος) τὸ παρὰ τοῖς Πέρσαις ἱερὸν πῦρ καλούμενον ἐπιμελῶς σβέσαι, μέχρι ἂν τελέσῃ τὴν ἐκφοράν (sc. τοῦ Ἡφαιστίωνος)· τοῦτο δὲ εἰώθεισαν οἱ Πέρσαι ποιεῖν κατὰ τὰς τῶν βασιλέων τελευτάς.

Cicero

(opera philosophica 54—44 scripsit)

de re publ. (ed. Mueller) III, 9, 14: si quis illo Pacuviano 'invehens alitum anguium curru' multas et varias gentis et urbes despicere et oculis conlustrare possit, videat . . . Graeciae, sicut apud nos, delubra magnifica humanis consecrata simulacris, quae Persae nefaria putaverunt; eamque unam ob causam Xerses inflammari Atheniensium fana iussisse dicitur, quod deos, quorum domus esset omnis hic mundus, inclusos parietibus contineri nefas esse duceret.

de leg. (ed. Mueller) II, 10, 26: delubra esse in urbibus censeo nec sequor magos Persarum, quibus auctoribus Xerses inflammasse templa Graeciae dicitur, quod parietibus includerent deos, quibus omnia deberent esse patentia ac libera, quorumque hic mundus omnis templum esset et domus.

de nat. deor. (ed. Plasberg) I, 41, 115: 'etiam de sanctitate, de pietate adversus deos libros scripsit Epicurus'. At quomodo in his loquitur: ut ⟨Ti.⟩ Coruncanium aut P. Scaevolam pontifices maximos te audire dicas, non eum qui sustulerit omnem funditus religionem nec manibus ut Xerxes, sed rationibus deorum immortalium templa et aras everterit.

Tusc. (ed. Pohlenz) I, 45, 108: condiunt Aegyptii mortuos et eos servant domi; Persae etiam cera circumlitos

2 Πέρσειαν editores 6 Περσεῖα D 30 add. Heindorf om. O(xoniensis Mertonianus 311) B(Vossianus 86)

condunt, ut quam maxime permaneant diuturna corpora. Magorum mos est non humare corpora suorum, nisi a feris sint ante laniata.

de divinat. (ed. Mueller) I, 23, 46: quid ego, quae magi Cyro illi principi interpretati sint, ex Dinonis Persicis [libris] proferam? nam cum dormienti ei sol ad pedes visus esset, ter eum scribit frustra adpetivisse manibus, cum se convolvens [sol] elaberetur et abiret; ei magos dixisse, [quod genus sapientium et doctorum habebatur in Persis,] ex triplici adpetitione solis triginta annos Cyrum regnaturum esse portendi. quod ita contigit; nam ad septuagesimum pervenit, cum quadraginta natus annos regnare coepisset.

ib. 41, 90s.: ea divinationum ratio ne in barbaris quidem gentibus neglecta est, siquidem et ... in Persis augurantur et divinant magi, qui congregantur in fano commentandi causa atque inter se conloquendi ... nec quisquam rex Persarum potest esse, qui non ante Magorum disciplinam scientiamque perceperit.

Nigidius Figulus

(45 a. Chr. mortuus est)

de diis (apud Serv. Dan. ad Bucol. IV, 10) IV (ed. Swoboda): magi aiunt Apollinis fore regnum, in quo videndum est ne ardorem, sive illa ecpyrosis adpellanda est, dicant.

Nicolaus Damascenus

(c. 64—4 a. Chr. vixit)

exc. de virt. et vit. (ed. Buettner-Wobst) 28 (67): ὅτι Κῦρος ὁ Περσῶν βασιλεὺς ἦν φιλοσοφίας, εἰ καί τις ἄλλος, ἔμπειρος, ἥντινα παρὰ τοῖς μάγοις ἐπαιδεύθη. δικαιοσύνην τε καὶ ἀλήθειαν ἐδιδάχθη κατὰ δή τινας πατρίους νόμους καθεστῶτας Περσῶν τοῖς ἀρίστοις· ὃς καὶ μετεπέμψατο Σίβυλλαν ἐξ Ἐφέσου τὴν Ἡροφίλαν καλουμένην χρησμῳδόν.

ib. 29 (68): Κροίσου . . . εὐξαμένου ζοφερὸς ἐξαίφνης ἀὴρ συνέδραμε νεφούμενος πάντοθεν, βρονταί τε

5 Persicis Gulielmius persicis libris A (Leidensis Vossianus 84) B (Leidensis Vossianus 86) H (Leidensis Heinsianus 118) V(indobonensis 189) 8 sol et quod genus — in Persis cum Hottingero secl. Baiter 32 συνέδραμεν ἐφούμενος P(eirescianus nunc Turonensis C 980) corr. Valesius

γίγνονται καὶ ἀστραπαὶ συνεχεῖς, τοσοῦτός τε κατεῤῥάγη ὑετός, ὥστε μὴ μόνον τὴν πυρὰν σβεσθῆναι, ⟨ἀλλὰ⟩ καὶ τοὺς ἀνθρώπους μόλις ἀντέχειν. Κροίσῳ μὲν οὖν ταχὺ στέγασμα πορφυροῦν ὑπερέτεινον· τοῖς δὲ ἀνθρώποις τὰ μὲν ὑπὸ ζόφου καὶ λαίλαπος ταραττομένοις, τὰ δὲ ὑπὸ ἀστραπῶν ⟨καὶ⟩ καταπατουμένοις ὑπὸ τῶν ἵππων, ταραχυνομένων πρὸς τὸν ψόφον τῶν βροντῶν, δείματα δαιμόνια ἐνέπιπτεν, καὶ οἵ τε τῆς Σιβύλλης χρησμοὶ τά τε Ζωροάστρου λόγια ἐσῄει . . . τόν γε μὴν Ζωροάστρην Πέρσαι ἀπ' ἐκείνου διεῖπαν μήτε νεκροὺς καίειν μήτ' ἄλλως μιαίνειν πῦρ, καὶ πάλαι τοῦτο καθεστὼς τὸ νόμιμον τότε βεβαιωσάμενοι.

περὶ ἐθῶν (apud Stob., anthol. (ed. Hense) IV, 2, 25): Πέρσαις ὃ μὴ ποιεῖν ἔξεστιν οὐδὲ λέγουσιν. ἐὰν δέ τις πατέρα κτείνῃ, ὑποβλητὸν αὐτὸν οἴονται . . . ἆθλα δὲ λαμβάνουσι παρὰ τοῦ βασιλέως πολυτεκνίας. οἱ δὲ παῖδες παρ' αὐτοῖς ὥσπερ μάθημα τὸ ἀληθεύειν διδάσκονται.

Strabo

(c. 63—19 p. Chr. vixit)

geogr. (rec. Meineke) XI, 8, 4. 512: ἐπιθέμενοι . . . αὐτοῖς (sc. τοῖς Σάκαις) πανηγυρίζουσιν ἀπὸ τῶν λαφύρων οἱ ταύτῃ τότε τῶν Περσῶν στρατηγοὶ νύκτωρ ἄρδην αὐτοὺς ἠφάνισαν. ἐν δὲ τῷ πεδίῳ πέτραν τινὰ προσχώματι συμπληρώσαντες εἰς βουνοειδὲς σχῆμα ἐπέθηκαν τεῖχος καὶ τὸ τῆς Ἀναΐτιδος καὶ τῶν συμβώμων θεῶν ἱερόν ἱδρύσαντο, Ὠμανοῦ καὶ Ἀναδάτου Περσικῶν δαιμόνων, ἀπέδειξάν τε πανήγυριν κατ' ἔτος ἱεράν, τὰ Σάκαια, ἣν μέχρι νῦν ἐπιτελοῦσιν οἱ τὰ Ζῆλα ἔχοντες· οὕτω γὰρ καλοῦσι τὸν τόπον· ἔστι δὲ ἱεροδούλων πόλισμα τὸ πλέον· Πομπήιος δὲ προσθεὶς χώραν ἀξιόλογον καὶ τοὺς ἐν αὐτῇ συνοικίσας εἰς τὸ τεῖχος μίαν τῶν πόλεων ἀπέφηνεν ὧν διέταξε μετὰ τὴν Μιθριδάτου κατάλυσιν.

ib. 5. 512: οἱ μὲν [οὖν] οὕτω λέγουσι περὶ τῶν Σακῶν, οἱ δ' ὅτι Κῦρος ἐπιστρατεύσας τοῖς Σάκαις ἡττηθεὶς τῇ μάχῃ φεύγει, στρατοπεδευσάμενος δ' ἐν ᾧ χωρίῳ τὰς παρασκευὰς ἀπολελοίπει πλήρεις ἀφθονίας ἁπάσης καὶ μάλιστα οἴνου, διαναπαύσας μικρὰ τὴν στρατιάν, ἤλαυ-

2 ἀλλὰ add. Va 3 ἀνθρώπους Va οὖνους P 6 καὶ add. Corais 8 ζωριάστρου P corr. Va 19 ἀπὸ τῶν λαφύρων om. i (Escurialensis) 23 ἀναείτιδος C (Parisinus 1393) D (Venetus 640) h (Mosquensis) i ἱερῶν C 25 σάκα codd Σάκαια Tzschucke corr. ex coni. Casauboni 31 οὖν om. codd. add. Cor 32 σάκκων DL σάκκαις DL

νεν ἀφ' ἑσπέρας ὡς φεύγων, πλήρεις ἀφεὶς τὰς σκηνάς· προελθὼν δ' ὅσον ἐδόκει συμφέρειν ἱδρύθη· ἐπιόντες δ' ἐκεῖνοι καὶ καταλαβόντες ἔρημον ἀνδρῶν τὸ στρατόπεδον τῶν δὲ πρὸς ἀπόλαυσιν μεστόν, ἀνέδην ἐνεπίμπλαντο· ὁ δ' ὑποστρέψας ἐξοίνους κατέλαβε καὶ παραπλῆγας, ὥσθ' οἱ μὲν ἐν κάρῳ κείμενοι καὶ ὕπνῳ κατεκόπτοντο, οἱ δ' ὀρχούμενοι καὶ βακχεύοντες γυμνοὶ περιέπιπτον τοῖς τῶν πολεμίων ὅπλοις, ὀλίγου δ' ἀπώλοντο ἅπαντες. ὁ δὲ θεῖον νομίσας τὸ εὐτύχημα, τὴν ἡμέραν ἐκείνην ἀνιερώσας τῇ πατρίῳ θεῷ προσηγόρευσε Σάκαια· ὅπου δ' ἂν ᾖ τῆς θεοῦ ταύτης ἱερόν, ἐνταῦθα νομίζεται καὶ ἡ τῶν Σακαίων ἑορτὴ βακχεία τις μεθ' ἡμέραν καὶ νύκτωρ, διεσκευασμένων σκυθιστί, πινόντων ἅμα καὶ πληκτιζομένων πρὸς ἀλλήλους ἅμα τε καὶ τὰς συμπινούσας γυναῖκας.

ib. 11, 3. 517: περὶ τούτων (sc. τῶν Βακτριανῶν) οὐ τὰ βέλτιστα λέγουσιν οἱ περὶ Ὀνησίκριτον· τοὺς γὰρ ἀπειρηκότας διὰ γῆρας ἢ νόσον ζῶντας παραβάλλεσθαι τρεφομένοις κυσὶν ἐπίτηδες πρὸς τοῦτο, οὓς ἐνταφιαστὰς καλεῖσθαι τῇ πατρῴᾳ γλώττῃ, καὶ ὁρᾶσθαι τὰ μὲν ἔξω τείχους τῆς μητροπόλεως τῶν Βάκτρων καθαρά, τῶν δ' ἐντὸς τὸ πλέον ὀστέων πλῆρες ἀνθρωπίνων· καταλῦσαι δὲ τὸν νόμον Ἀλέξανδρον. τοιαῦτα δέ πως καὶ τὰ περὶ τοὺς Κασπίους ἱστοροῦσι· τοὺς γὰρ γονέας, ἐπειδὰν ὑπὲρ ἑβδομήκοντα ἔτη γεγονότες τυγχάνωσιν, ἐγκλεισθέντας λιμοκτονεῖσθαι. τοῦτο μὲν οὖν ἀνεκτότερον καὶ τῷ Κείων νόμῳ παραπλήσιον καίπερ ὂν σκυθικόν, πολὺ μέντοι σκυθικώτερον τὸ τῶν Βακτριανῶν. καὶ δὴ διαπορεῖν ἄξιον ἦν, ἡνίκα Ἀλέξανδρος τοιαῦτα κατελάμβανε τἀνταῦθα, τί χρὴ * ποιεῖν τὰ ἐπὶ τῶν πρώτων Περσῶν καὶ τῶν ἔτι πρότερον ἡγεμόνων ὁποῖα εἰκὸς ἦν παρ' αὐτοῖς νενομίσθαι.

ib. 14, 9. 530: οἱ Νησαῖοι ἵπποι καὶ ἐνταῦθα (sc. ἐν Ἀρμενίᾳ) γίγνονται, οἷσπερ οἱ Περσῶν βασιλεῖς ἐχρῶντο, καὶ ὁ σατράπης τῆς Ἀρμενίας τῷ Πέρσῃ κατ' ἔτος δισμυρίους πώλους τοῖς Μιθρακίνοις ἔπεμπεν.

12 βακχία codd exc. g (Vaticanus 174) r (Parisinus 1398) x (Mediceus plut. 28, 19) y (Urbinas 81) τις] τῆς Chil (Venetus 377) o (Parisinus 1394) rw (Venetus 379) z (Mediceus plut. 28, 15) τοῖς D τῶν gy Tzsch. corr. ex coni. Cas, infeliciter tamen addens articulum τῶν 25 καὶ τῷ οἰκείῳ νόμῳ codd edd corr. Kramer 28 εἰπεῖν o Cor. haud improbabititer νοεῖν coni. Thyrwitt 34 τοῖς Μιθρακίνοις om. x μιθρακηνοῖς C μιθρακάνοις E (Vaticanus 482) lorwz Μιθριακοῖς Cor. e. coni. Toupii coll. Lamprid. Commodo 9 Μιθραϊκοῖς Groskurd

ib. 16. 532: ἅπαντα μὲν οὖν τὰ τῶν Περσῶν ἱερὰ καὶ Μῆδοι καὶ Ἀρμένιοι τετιμήκασι, τὰ δὲ τῆς Ἀναΐτιδος διαφερόντως Ἀρμένιοι, ἔν τε ἄλλοις ἱδρυσάμενοι τόποις καὶ δὴ καὶ ἐν τῇ Ἀκιλισηνῇ. ἀνατιθέασι δ' ἐνταῦθα δούλους καὶ δούλας· καὶ τοῦτο μὲν οὐ θαυμαστόν, ἀλλὰ καὶ θυγατέρας οἱ ἐπιφανέστατοι τοῦ ἔθνους ἀνιεροῦσι παρθένους, αἷς νόμος ἐστὶ καταπορνευθείσαις πολὺν χρόνον παρὰ τῇ θεῷ μετὰ ταῦτα δίδοσθαι πρὸς γάμον, οὐκ ἀπαξιοῦντος τῇ τοιαύτῃ συνοικεῖν οὐδενός.

ib. XII, 3, 37. 559: ἡ . . . Ζηλῖτις ἔχει πόλιν Ζῆλα . . . ἔχουσαν τὸ ἱερὸν τῆς Ἀναΐτιδος, ἥνπερ καὶ οἱ Ἀρμένιοι σέβονται. αἱ μὲν οὖν ἱεροποιίαι μετὰ μείζονος ἁγιστείας ἐνταῦθα συντελοῦνται, καὶ τοὺς ὅρκους περὶ τῶν μεγίστων ἐνταῦθα Ποντικοὶ πάντες ποιοῦνται· τὸ δὲ πλῆθος τῶν ἱεροδούλων καὶ αἱ τῶν ἱερέων τιμαὶ παρὰ μὲν τοῖς βασιλεῦσι τὸν αὐτὸν εἶχον τύπον ὅνπερ προείπομεν, νυνὶ δὲ ἐπὶ τῇ Πυθοδωρίδι πάντ' ἐστίν. ἐκάκωσαν δὲ πολλοὶ καὶ ἐμείωσαν τό τε πλῆθος τῶν ἱεροδούλων καὶ τὴν ἄλλην εὐπορίαν . . . τὸ παλαιὸν μὲν γὰρ οἱ βασιλεῖς οὐχ ὡς πόλιν ἀλλ' ὡς ἱερὸν διῴκουν τῶν Περσικῶν θεῶν τὰ Ζῆλα, καὶ ἦν ὁ ἱερεὺς κύριος τῶν πάντων· ᾠκεῖτο δ' ὑπὸ τοῦ πλήθους τῶν ἱεροδούλων καὶ τοῦ ἱερέως ὄντος ἐν περιουσίᾳ μεγάλῃ, καὶ *τοῖς περὶ αὐτὸν οὐκ ὀλίγοις χώρα τε ὑπέκειτο ἱερὰ καὶ ἦν τοῦ ἱερέως.

ib. XV, 3, 1. 727: φῦλα . . . οἰκεῖ τὴν χώραν (sc. Περσίδα) οἵ τε Πατεισχορεῖς λεγόμενοι καὶ οἱ Ἀχαιμενίδαι καὶ [οἱ] Μάγοι· οὗτοι μὲν οὖν σεμνοῦ τινός εἰσι βίου ζηλωταί, Κύρτιοι δὲ καὶ Μάρδοι λῃστρικοί, ἄλλοι δὲ γεωργικοί.

ib. 6. 729: ἔστι . . . Κῦρος ποταμὸς διὰ τῆς κοίλης καλουμένης Περσίδος ῥέων περὶ Πασαργάδας, οὗ μετέλαβε τὸ ὄνομα βασιλεὺς ἀντὶ Ἀγραδάτου μετονομασθεὶς Κῦρος.

ib. XV, 3, 7. 730: εἶτ' εἰς Πασαργάδας ἧκε (ὁ Ἀλέξανδρος) . . . ἐνταῦθα δὲ καὶ τὸν Κύρου τάφον εἶδεν ἐν παραδείσῳ, πύργον οὐ μέγαν, τῷ δάσει τῶν δένδρων ἐναποκεκρυμμένον, κάτω μὲν στερεὸν ἄνω δὲ στέγην ἔχοντα

2 τανάιδος codd 6 ἀνιεροῦσι παρθένους om. oz 10 ζηλῆτις CD Tzsch corr. 14 πολιτικοί codd 17 ὑπὸ pro ἐπὶ fortasse scribendum esse suspicatur Cor 18 πολλάς l πολὺ Cor 21 ἦν Cor codd ἡ 26 πατισχορεῖς DE παστιχορεῖς h ἀχεμενίδαι F (Vaticanus 1329) 27 μαρσοὶ codd Tzsch corr. de coni. Cas 31 μετέβαλε Tzsch Cor de coni. Cas 32 μετονομάσας κῦρον Cor

καὶ σηκὸν στενὴν τελέως ἔχοντα τὴν εἴσοδον, δι' ἧς παρελθεῖν εἴσω φησὶν Ἀριστόβουλος κελεύσαντος τοῦ βασιλέως καὶ κοσμῆσαι τὸν τάφον· ἰδεῖν δὲ κλίνην τε χρυσῆν καὶ τράπεζαν σὺν ἐκπώμασι καὶ πύελον χρυσῆν καὶ ἐσθῆτα πολλὴν κόσμον τε λιθοκόλλητον· κατὰ μὲν οὖν τὴν πρώτην ἐπιδημίαν ταῦτ' ἰδεῖν, ὕστερον δὲ συληθῆναι, καὶ τὰ μὲν ἄλλα ἐκκομισθῆναι τὴν δὲ κλίνην θραυσθῆναι μόνον καὶ τὴν πύελον, μεταθέντων τὸν νεκρόν, δι' οὗ δῆλον γενέσθαι διότι προνομευτῶν ἔργον ἦν, οὐχὶ τοῦ σατράπου, καταλιπόντων ἃ μὴ δυνατὸν ἦν ῥᾳδίως ἐκκομίσαι· συμβῆναι δὲ ταῦτα, καίπερ φυλακῆς περικειμένης Μάγων . . . οὕτω μὲν οὖν Ἀριστόβουλος εἴρηκε . . . Ὀνησίκριτος δὲ τὸν μὲν πύργον δικάστεγον εἴρηκε· καὶ ἐν μὲν τῇ ἀνωτάτω στέγῃ κεῖσθαι τὸν Κῦρον.

ib. 8. 730: μέμνηται δ' Ὀνησίκριτος καὶ τὸ ἐπὶ τοῦ Δαρείου τάφῳ γράμμα . . . Ἄριστος δ' ὁ Σαλαμίνιος πολὺ μέν ἐστι νεώτερος τούτων, λέγει δὲ δίστεγον τὸν πύργον καὶ μέγαν, ἐν δὲ τῇ Περσῶν διαδοχῇ ἱδρῦσθαι, φυλάττεσθαι δὲ τὸν τάφον . . . τοὺς δὲ Πασαργάδας ἐτίμησε Κῦρος, ὅτι τὴν ὑστάτην μάχην ἐνίκησεν Ἀστυάγην ἐνταῦθα τὸν Μῆδον, καὶ τὴν ἀρχὴν τῆς Ἀσίας μετήνεγκεν εἰς ἑαυτὸν καὶ πόλιν ἔκτισε καὶ βασίλειον κατεσκεύασε τῆς νίκης μνημεῖον.

ib. 13. 732: τὰ . . . ἔθη τὰ Περσικὰ καὶ τούτοις καὶ Μήδοις τὰ αὐτὰ καὶ ἄλλοις πλείοσι, περὶ ὧν εἰρήκασι μὲν πλείους, τὰ δὲ καίρια καὶ ἡμῖν λεκτέον. Πέρσαι τοίνυν ἀγάλματα μὲν καὶ βωμοὺς οὐχ ἱδρύονται, θύουσι δ' ἐν ὑψηλῷ τόπῳ τὸν οὐρανὸν ἡγούμενοι Δία· τιμῶσι δὲ καὶ ἥλιον, ὃν καλοῦσι Μίθρην, καὶ σελήνην καὶ Ἀφροδίτην καὶ πῦρ καὶ γῆν καὶ ἀνέμους καὶ ὕδωρ· θύουσι δ' ἐν καθαρῷ τόπῳ κατευξάμενοι παραστησάμενοι τὸ ἱερεῖον ἐστεμμένον· μελίσαντος δὲ τοῦ Μάγου τὰ κρέα τοῦ ὑφηγουμένου τὴν ἱερουργίαν ἀπίασι διελόμενοι, τοῖς θεοῖς οὐδὲν ἀπονείμαντες μέρος· τῆς γὰρ ψυχῆς φασι τοῦ ἱερείου δεῖσθαι τὸν θεόν, ἄλλου δὲ οὐδενός· ὅμως δὲ τοῦ ἐπίπλου τι μικρὸν τιθέασιν, ὡς λέγουσί τινες, ἐπὶ τὸ πῦρ.

ib. 14. 732 s.: διαφερόντως δὲ τῷ πυρὶ καὶ τῷ ὕδατι θύουσι, τῷ μὲν πυρί, προστιθέντες ξηρὰ ξύλα τοῦ λέπους χωρὶς πιμελὴν ἐπιτιθέντες ἄνωθεν· εἶθ' ὑφάπτουσιν ἔλαιον

8 δ' οὐ codd Tzsch corr. de coni. Tyrwh 22 νίκης] μνήμης m (Venetus 378) oz 29 μίθραν E 31 καὶ ante παραστησάμενοι edd add. inde a Cas 32 ἐστεμμένοι suspicatur Cor

καταχέοντες, οὐ φυσῶντες ἀλλὰ ῥιπίζοντες· τοὺς δὲ φυσήσαντας ἢ νεκρὸν ἐπὶ πῦρ θέντας ἢ βόλβιτον θανατοῦσι· τῷ δ' ὕδατι, ἐπὶ λίμνην ἢ ποταμὸν ἢ κρήνην ἐλθόντες, βόθρον ὀρύξαντες εἰς τοῦτον σφαγιάζονται, φυλαττόμενοι μή τι τοῦ πλησίον ὕδατος αἱμαχθείη, ὡς μιανοῦντες· εἶτ' ἐπὶ μυρρίνην ἢ δάφνην διαθέντες τὰ κρέα ῥάβδοις λεπτοῖς *ἐφάπτονται οἱ Μάγοι καὶ ἐπᾴδουσιν, ἀποσπένδοντες ἔλαιον ὁμοῦ γάλακτι καὶ μέλιτι κεκραμένον οὐκ εἰς πῦρ οὐδ' ὕδωρ, ἀλλ' εἰς τοὔδαφος· τὰς δ' ἐπῳδὰς ποιοῦνται πολὺν χρόνον ῥάβδων μυρικίνων λεπτῶν δέσμην κατέχοντες.

ib. 15. 733: ἐν δὲ τῇ Καππαδοκίᾳ (πολὺ γὰρ ἐκεῖ τὸ τῶν Μάγων φῦλον, οἳ καὶ πύραιθοι καλοῦνται· πολλὰ δὲ καὶ τῶν Περσικῶν θεῶν ἱερά), οὐδὲ μαχαίρᾳ θύουσιν, ἀλλὰ κορμῷ τινι ὡς ἂν ὑπέρῳ τύπτοντες. ἔστι δὲ καὶ πυραιθεῖα, σηκοί τινες ἀξιόλογοι· ἐν δὲ τούτοις μέσοις βωμός, ἐν ᾧ πολλή τε σποδός, καὶ πῦρ ἄσβεστον φυλάττουσιν οἱ Μάγοι· καὶ καθ' ἡμέραν δὲ εἰσιόντες, ἐπᾴδουσιν ὥραν σχεδόν τι πρὸ τοῦ πυρὸς τὴν δέσμην τῶν ῥάβδων ἔχοντες, τιάρας περικείμενοι πιλωτὰς καθεικυίας ἑκατέρωθεν μέχρι τοῦ καλύπτειν τὰ χείλη τὰς παραγναθίδας. ταὐτὰ δ' ἐν τοῖς τῆς Ἀναΐτιδος καὶ τοῦ Ὠμάνου ἱεροῖς νενόμισται· τούτων δὲ καὶ σηκοί εἰσι, καὶ ξόανον τοῦ Ὠμάνου πομπεύει. ταῦτα μὲν οὖν ἡμεῖς ἑωράκαμεν, ἐκεῖνα δ' ἐν ταῖς ἱστορίαις λέγεται καὶ τὰ ἐφεξῆς.

ib. 16. 733: εἰς γὰρ ποταμὸν οὔτ' οὐροῦσιν οὔτε νίπτονται Πέρσαι, οὐδὲ λούονται, οὐδὲ νεκρὸν ἐμβάλλουσιν οὐδ' ἄλλα τῶν δοκούντων εἶναι μυσαρῶν· ὅτῳ δ' ἂν θύσωσι θεῷ, πρώτῳ τῷ πυρὶ εὔχονται.

ib. 17. 733: γαμοῦσι δὲ πολλὰς καὶ ἅμα παλλακὰς τρέφουσι πλείους πολυτεκνίας χάριν. τιθέασι δὲ καὶ οἱ βασιλεῖς ἆθλα πολυτεκνίας κατ' ἔτος· τὰ δὲ τρεφόμενα μέχρι ἐτῶν τεττάρων οὐκ ἄγεται τοῖς γονεῦσιν εἰς ὄψιν. οἱ δὲ γάμοι κατὰ τὰς ἀρχὰς τῆς ἐαρινῆς ἰσημερίας ἐπιτελοῦνται *** παρέρχεται δ' ἐπὶ τὸν θάλαμον προφαγὼν μῆλον ἢ καμήλου μυελόν, ἄλλο δ' οὐδὲν τὴν ἡμέραν ἐκείνην.

1 οὐ om. F (Vaticanus 1329) 5 καθαροῦ post ὕδατος add. Xylander 7 ἐφάπτονται et e corr. ὑφάπτουσι z, unde ὑφάπτουσι mo. Cor suspicatur scribendum esse ἐφαπτόμενοι ὑφάπτουσι ἐπᾴδοντες omisso ἀποσπένδοντες Dhi 11 ἐκεῖ Kr 15 πυραιθία F πυραθεῖα moz 20 ταῦτα codd Cor corr. 21 ναΐτιδος codd Xyl corr. ὡμάνου DFh 22 ὡμάνου DFh 28 πρῶτον mowz

ib. 18. 733 s.: ἀπὸ δὲ πέντε ἐτῶν ἕως τετάρτου καὶ εἰκοστοῦ παιδεύονται τοξεύειν καὶ ἀκοντίζειν καὶ ἱππάζεσθαι καὶ ἀληθεύειν . . . κοσμοῦνται δ' οἱ παῖδες χρυσῷ, τὸ πυρωπὸν τιθεμένων ἐν τιμῇ. διὸ οὐδὲ νεκρῷ προσφέρουσι καθάπερ οὐδὲ τὸ πῦρ κατὰ τιμήν.

ib. 20. 734 s.: ἐν οἴνῳ τὰ μέγιστα βουλεύονται, καὶ βεβαιότερα τῶν ἐν νήψει τίθενται. τῶν κατὰ τὰς ὁδοὺς συναντώντων τοὺς μὲν γνωρίμους καὶ ἰσοτίμους φιλοῦσι προσιόντες, τοῖς δὲ ταπεινοτέροις παραβάλλουσι τὴν γνάθον καὶ δέχονται ταύτῃ τὸ φίλημα· οἱ δ' ἔτι ταπεινότεροι προσκυνοῦσι μόνον. θάπτουσι δὲ κηρῷ περιπλάσαντες τὰ σώματα, τοὺς δὲ Μάγους οὐ θάπτουσιν, ἀλλ' οἰωνοβρώτους ἐῶσι· τούτοις δὲ καὶ μητράσι συνέρχεσθαι πάτριον νενόμισται. τοιαῦτα μὲν τὰ ἔθη.

ib. XVI, 1, 4. 738: περὶ Ἄρβηλα . . . ἔστι καὶ Δημητριὰς πόλις· εἶθ' ἡ τοῦ νάφθα πηγὴ καὶ τὰ πυρὰ καὶ τὸ τῆς *Ἀναίας ἱερόν.

ib. 2, 39. 762: οἱ μάντεις ἐτιμῶντο ὥστε καὶ βασιλείας ἀξιοῦσθαι, ὡς τὰ παρὰ τῶν θεῶν ἡμῖν ἐκφέροντες παραγγέλματα καὶ ἐπανορθώματα καὶ ζῶντες καὶ ἀποθανόντες· τοιοῦτος δὲ ὁ Ἀμφιάρεως . . . παρά δὲ τοῖς Πέρσαις οἱ μάγοι καὶ νεκυομάντεις καὶ ἔτι οἱ λεγόμενοι λεκανομάντεις καὶ ὑδρομάντεις.

ib. XVII, 1, 27. 805: νυνί . . . ἐστι πανέρημος ἡ πόλις (sc. τοῦ Ἡλίου), τὸ ἱερὸν ἔχουσα τῷ Αἰγυπτίῳ τρόπῳ κατεσκευασμένον ἀρχαῖον, ἔχον πολλὰ τεκμήρια τῆς Καμβύσου μανίας καὶ ἱεροσυλίας, ὃς τὰ μὲν πυρὶ τὰ δὲ σιδήρῳ διελωβᾶτο τῶν ἱερῶν, ἀκρωτηριάζων καὶ περικαίων κτλ.

Isidorus Characenus

(Strabonis tempore vixit)

mans. Parth. (Geographi graeci minores rec. Müller I) 6: ἐντεῦθεν ἡ Μηδία ἡ ἄνω, σχοῖνοι λη'· καὶ ἄρχεται εὐθὺς πόλις Κογκοβάρ· ἔνθα Ἀρτέμιδος ἱερόν, σχοῖνοι γ' . . . εἶτα Βάτανα, μητρόπολις Μηδίας καὶ θησαυροφυλάκιον καὶ ἱερόν, ὅπερ Ἀναΐτιδος· ἀεὶ θύουσιν· σχοῖναι ιβ'.

2 καὶ ἀκοντίζειν om. hi 16 καὶ τὰ πυρα om. Dhi 17 ἀνέας codd Xyl mut. Ἀναίτιδος scribendum esse censet Cas 32 Κογκόβαρ B (Parisinus 571) 33 ἀποβάτανα B εἶτα ἀπὸ Βούτανα A (Parisinus 443) εἶτα Ἀγβάτανα Mannert 34 ἱερὸν — θύουσιν] sic codd. hiulcam excerptoris orationem non nobis esse expoliendam nihil mutans recte sensit Miller. proposuerunt leg.: οὗπερ Αναΐτιδι ἀεὶ θύουσιν vel ἱερὸν Ἀνάιτιδος, οὗπερ ἀεὶ θύουσιν.

Vitruvius

(c. 25—23 scripsit)

de archit. (ed. Krohn) VIII, praef. 1: de septem sapientibus Thales Milesius omnium regum principium aquam est professus, Heraclitus ignem, Magorum sacerdotes aquam et ignem.

Ovidius

(43—17 p. Chr. vixit)

fast. (ed. Peter) I, 385 f.:

placat equo Persis radiis Hyperiona cinctum,
ne detur celeri victima tarda deo.

Philo Alexandrinus

(c. 20 a. Chr. — c. 40 p. Chr. vixit)

de spec. leg. (ed. Cohn) III (3,) 13: μητέρας . . . οἱ ἐν τέλει Περσῶν τὰς ἑαυτῶν ἄγονται καὶ τοὺς φύντας ἐκ τούτων εὐγενεστάτους νομίζουσι καὶ βασιλείας, ὡς λόγος, τῆς μεγίστης ἀξιοῦσιν.

ib. (18) 100: τὴν . . . ἀληθῆ μαγικήν, ὀπτικὴν ἐπιστήμην οὖσαν, ᾗ τὰ τῆς φύσεως ἔργα τρανοτέραις φαντασίαις αὐγάζεται, σεμνὴν καὶ περιμάχητον δοκοῦσαν εἶναι, οὐκ ἰδιῶται μόνοι ἀλλὰ καὶ βασιλεῖς καὶ βασιλέων οἱ μέγιστοι καὶ μάλιστα οἱ Περσῶν διαπονοῦσιν οὕτως, ὥστ' οὐδένα φασὶν ἐπὶ βασιλείαν δύνασθαι παραπεμφθῆναι παρ' αὐτοῖς, εἰ μὴ πρότερον τοῦ μάγων γένους κεκοινωνηκὼς τυγχάνοι.

quod omnis probus liber sit (ed. Cohn et Reiter) (11,) 74: κατὰ... τὴν βάρβαρον, ἐν ᾗ πρεσβευταὶ λόγων καὶ ἔργων, πολυανθρωπότατα στίφη καλῶν καὶ ἀγαθῶν ἐστιν ἀνδρῶν· ἐν Πέρσαις μὲν τὸ μάγων, οἳ τὰ φύσεως ἔργα διερευνώμενοι πρὸς ἐπίγνωσιν τῆς ἀληθείας καθ' ἡσυχίαν τὰς θείας ἀρετὰς τρανοτέραις ἐμφάσεσιν ἱεροφαντοῦνταί τε καὶ ἱεροφαντοῦσιν· ἐν Ἰνδοῖς δὲ τὸ γυμνοσοφιστῶν κτλ.

12 ἀλήθειαν G (Vaticano-Palatinus gr. 248) ὀπτικὴν om. GH (Venetus gr. 40)² ᾗ codd. αὐγάζεται F (Laurentianus LXXXV 10) L (Parisinus gr. 433)² ἐργάζεται ceteri 16 διακονοῦσιν S(eldenianus) 18 post κεκοινωνηκὼς add. πως M (Laurentianus X 20) 22 πολυανθρωπότατα A (Monacensis gr. 459) Q (Parisinus graecus 2075) T (Ambrosianus D 27) πολυανθρωπότερα ceteri 23 ἐν περσίδι M

Valerius Maximus

(28—32 scripsit)

facta et dicta memor. (ed. Kempf) II, 6, 16: Persarum admodum probabile institutum fuit, quod liberos suos non prius aspiciebant quam septimum annum inplessent, quo parvulorum amissionem aequiore animo sustinerent.

Curtius Rufus

(sub Claudio scripsit)

histor. Alex. (ed. Hedicke) III, 3, (7,) 8 s.: patrio more Persarum traditum est orto sole demum procedere die iam inlustri signum e tabernaculo regis bucina dabatur: super tabernaculum, unde ab omnibus conspici posset, imago solis crystallo inclusa fulgebat . . . Ordo autem agminis erat talis. 9. ignis, quem ipsi sacrum et aeternum vocabant, argenteis altaribus praeferebatur. magi proximi patrium carmen canebant. 10. magos trecenti et sexaginta quinque iuvenes sequebantur puniceis amiculis velati, diebus totius anni pares numero: quippe Persis quoque in totidem dies discriptus est annus. 11. currum deinde Iovi sacratum albentes vehebant equi: hoc eximiae magnitudinis equus, quem Solis appellabant, sequebatur. aureae virgae et albae vestes regentes equos adornabant.

ib. 3, (7,) 16: utrumque currus latus deorum simulacra ex auro argentoque expressa decorabant: distinquebant internitentes gemmae iugum, ex quo eminebant duo aurea simulacra cubitalia avorum, alterum Nini, alterum Beli. inter haec aquilam auream pinnas extendenti similem sacraverant.

ib. 12, (31,) 13 s.: Alexander postero die cum cura sepultis militibus, quorum corpora invenerat, Persarum quoque nobilissimis eundem honorem haberi iubet matrique Darei permittit, quos vellet, patrio more sepeliret. 14. illa paucos arta propinquitate coniunctos pro habitu praesentis fortunae humari iussit, apparatum funerum,

13 patrum P(arisinus 5716) 14 puniceis Francinus punicis A (= B[ernensis 451] F[lorentinus plut. LXIV, 35] L[eidensis 137] P S[chedae Vindobonenses 492] V[ossianus Q 20])
16 discriptus Eussner descriptus A 24 avorum Jeep quorum A alterum Nini, alterum Beli Scaliger alterinalterutrum belli A

quo Persae suprema officia celebrarent, invidiosum fore existimans, cum victores haud pretiose cremarentur.

ib. IV, 13, (48,) 12: ipse (Dareus) cum ducibus propinquisque agmina in armis stantium circumibat, Solem et Mithrem sacrumque et aeternum invocans ignem, ut illis dignam vetere gloria maiorumque monumentis fortitudinem inspirarent.

ib. 14, (55,) 24: (Dareus:) per ego vos deos patrios aeternumque ignem, qui praefertur altaribus, fulgoremque solis intra fines regni mei orientis, per aeternam memoriam Cyri, qui ademptum Medis Lydisque imperium primus in Persidem intulit, vindicate ab ultimo dedecore nomen gentemque Persarum.

ib. V, 1, (2,) 22: magi deinde suo more carmen canentes, post hos Chaldaei Babyloniorumque non vates modo, sed etiam artifices cum fidibus sui generis ibant: laudes hi regum canere soliti, Chaldaei siderum motus et statas vices temporum ostendere.

ib. VII, 5, (24), 40: Alexander Oxathren, fratrem Darei, quem inter corporis custodes habebat, propius iussit accedere tradique Bessum ei, ut cruci adfixum mutilatis auribus naribusque sagittis configerent barbari adservarentque corpus, ut ne aves quidem contingerent.

ib. X, 5, (16,) 17: Persae comis suo more detonsis in lugubri veste cum coniugibus ac liberis non ut victorem et modo [ut] hostem, sed ut gentis suae iustissimum regem vero desiderio, lugebant (Alexandrum).

ib. 5, (17), 19: ad Darei quoque matrem celeriter perlata est (sc. tanti mali fama): abscissa ergo veste, quam induta erat, lugubrem sumpsit laceratisque crinibus humi corpus abiecit.

ib. 24: ad ultimum dolori succubuit obvolutoque capite accidentis genibus suis neptem nepotemque aversata cibo pariter abstinuit et luce.

ib. VIII, 2, (8,) 19: apud eos parentibus stupro coire cum liberis fas est.

6 maiorumque Franc maioremque A 16 fidibus] fidelibus V 18 statas P statutas C (fragmentum Darmstadiense cod. 3152) sed in margine additur vel statas 19 Oxathren Snakenburg oxathen P oxaten C 24 comis suo Palmer commisso A 26 ut del. Vindelinus

ib. 5, (18,) 11: Persas . . . non pie solum, sed etiam prudenter reges suos inter deos colere: maiestatem enim imperii salutis esse tutelam.

ib. X, 1, (5,) 30 s.: forte . . . sepulchrum Cyri Alexander iussit aperiri, in quo erat conditum eius corpus, cui dare volebat inferias. 31. auro argentoque conditorium repletum esse crediderat — quippe ita fama Persae vulgaverant —, sed praeter clipeum eius putrem et arcus duos Scythicos et acinacem nihil repperit. 32. ceterum corona aurea inposita amiculo, cui adsuerat ipse, solium, in quo corpus iacebat, velavit miratus tanti nominis regem tantis praeditum opibus haud pretiosius sepultum esse, quam si fuisset e plebe.

Seneca philosophus
(65 mortuus est)

dial. (ed. Hermes) II, de const. sap 4, 2: quid? tu putas tum, cum stolidus ille rex (sc. Xerses) multitudine telorum diem obscuraret, ullam sagittam in solem incidisse aut demissis in profundum catenis Neptunum potuisse contingi?

ib. V, de ira III, 16, 4: quanto Xerses facilior! qui Pythio quinque filiorum patri unius vacationem petenti, quem vellet eligere permisit, deinde quem elegerat in partes duas distractum ab utroque viae latere posuit et hac victima lustravit exercitum.

ib. 21, 1 s.: hic (sc. Cambyses) iratus fuit genti et ignotae et inmeritae, sensurae tamen: Cyrus flumini. nam cum Babylona oppugnaturus festinaret ad bellum, cuius maxima momenta in occasionibus sunt, Gynden late fusum amnem vado transire temptavit, quod vix tutum est, etiam cum sensit aestatem et ad minimum deductus est. 2. ibi unus ex iis equis, qui trahere regium currum albi solebant, abreptus vehementer commovit regem; iuravit itaque se amnem illum regis comitatus auferentem eo redacturum, ut transiri calcarique etiam a feminis posset. 3. hoc deinde amnem transtulit belli apparatum et tam diu

6 conditorium Heinsius conditum A 11 solio P solum F 18 constringi Bentley 27 Gyndem Erasmus[2] coll. Herodot. I, 189 gygem A(mbrosianus C 90) gangem L(aurentianus 76, 32) 32 comitatus A commeatus T (codicum deteriorum sive unus sive plures) quod multi praetulerunt coll. Suet. Tib. 38

adsedit operi, donec centum et LXXX cuniculis divisum alveum in trecentos et sexaginta rivos dispergeret, siccum relinqueret in diversum fluentibus aquis.

Plinius Secundus
(23—79 vixit)

hist. nat. (ed. Mayhoff) VI, 26, (29,) 116: inde (sc. a Laodicea) ad orientem Magi optinent Phrasargida castellum, in quo Cyri sepulchrum.

ib. VII, 16, (15,) 72: risisse eodem die quo genitus esset unum hominem accepimus Zoroastren; eidem cerebrum ita palpitasse ut inpositam repelleret manum, futurae praesagio scientiae.

ib. XI, 42, (97,) 242: tradunt Zoroastren in desertis caseo vixisse annis XX ita temperato ut vetustatem non sentiret.

ib. XVIII, 24, (55,) 200: adiecit his Attius in Praxidica, ut sereretur, cum luna esset in ariete, geminis, leone, libra, aquario, Zoroastres sole scorpionis duodecim partes transgresso, cum luna esset in tauro.

ib. XXIV, 17, (99,) 157: in promisso herbarum mirabilium occurrit aliqua dicere et de magicis. quae enim mirabiliores? primi eas in nostro orbe celebravere Pythagoras atque Democritus, consectati Magos.

ib. 17, (102,) 160: Democriti certe chirocmeta esse constat. at in his ille post Pythagoram Magorum studiosissimus quanto portentiosiora tradit! ut aglaophotim herbam, . . . hac Magos uti, cum velint deos evocare.

ib. 165: Helianthes vocat in Themiscyrena regione et Ciliciae montibus maritimis, folio myrti hac cum

1 post LXXX Gertz utrimque add., quod non vid. necessarium cuniculis A canuliculis Er sulculis Be coll. Lucan. IV, 142 5 frasargida D (Vaticanus 3861) F (Leidensis Lipsii n. VII) d (Parisinus 6797) T (oletanus) R (Florentinus Riccardianus) a (Vindobonensis CCXXXIV) phas- Sieglin phidasarcida Solinus asargida E[s] (Parisinus 6795) -rcida o (excerpta Roberti Crickladensis) passargada Barbarus -agardas Caesarius -da Sillig 14 attius d Si artius F insartius E praxidica Ribbeck -co libri 16 Zoroastris Fd -trius E 22 chirocmeta Broter cum Salmasio -cineta X (Luxemburgensis)et hirocmeta libb T 24 aglaophotim Si -photin Ba potim (glao- E) libb potin vulg Flaopotim X 26 helianthes E Harduin -tes f (Chiffletianus) -then vulg hellanthesi rell codd -tidem X 27 galatiae dT folium (io d) hyrti V (Leidensis Vossianus LXI) d

adipe leonino decocta, addito croco et palmeo vino, perungui Magos et Persarum reges, ut fiat corpus aspectu iucundum; ideo eandem heliocallida nominari.

ib. XXV, 2, (5,) 13: ab eo (sc. Homero) Pythagoras clarus sapientia primus volumen de effectu earum (sc. herbarum) composuit . . ., composuit et Democritus, ambo peragratis Persidis, Arabiae, Aethiopiae, Aegypti Magis.

ib. XXVIII, 6, (19,) 69: magi vetant eius causa contra solem lunamque nudari aut umbram cuiusquam ab ipso respergi.

ib. XXX, 1, (2,) 3 s.: sine dubio illic orta in Perside a Zoroastre, ut inter auctores convenit. sed unus hic fuerit an postea et alius, non satis constat. Eudoxus, qui inter sapientiae sectas clarissimam utilissimamque eam intellegi voluit, Zoroastren hunc sex milibus annorum ante Platonis mortem fuisse prodidit; sic et Aristoteles. 4. Hermippus, qui de tota ea arte diligentissime scripsit et viciens c milia versuum a Zoroastre condita indicibus quoque voluminum eius positis explanavit, praeceptorem, a quo institutum diceret, tradidit Agonacen, ipsum vero quinque milibus annorum ante Troianum bellum fuisse. mirum hoc in primis, durasse memoriam artemque tam longo aevo, non commentariis intercedentibus, praeterea nec claris nec continuis successionibus custoditam. 5. quotus enim quisque hominum auditu saltem cognitos habet, qui soli nominantur, Apusorum et Zaratum Medos Babyloniosque Marmarum et Arabantiphocum aut Assyrium Tarmoendam, quorum nulla extant monumenta?

ib. 8: primus, quod exstet, ut equidem invenio, commentatus est de ea Osthanes Xerxen regem Persarum bello, quod is Graeciae intulit, comitatus . . . diligentiores paulo ante hunc ponunt Zoroastren alium Proconnensium.

22 agonacen d² vulg agan- d¹ agonaecen V G (Parisinus 6796) -neiscen (antea -naecen) R e corr. abonacem T azonacen E az . . . (reliquis margine abcisis) rell codd 24 non Mayhoff om. libb vulg non interced. R (?) vulg Jan 28 arabantiphocum VG dTf Hard -tephocum R -tipphocum (-ochum E) Er (correctiones in R) arabem hippocum vulg 29 tarmoandam T -oeni- dam E zarmocenidam vulg ante Hard 34 zoroastren Si -sten VG (Parisinus 6796) R¹d -strem rell codd vulg

ib. 11: est et alia magices factio a Mose et Janne et Lotàpe ac Judaeis pendens, sed multis milibus annorum post Zoroastren.

ib. 2, (6,) 16 s.: magus ad eum (sc. Neronem) Tiridates venerat Armenia cum de se triumphum adferens et ideo provinciis gravis. 17. navigare noluerat, quoniam expuere in maria aliisque mortalium necessitatibus violare naturam eam fas non putant. magos secum adduxerat, magicis etiam cenis eum initiaverat; non tamen, cum regnum ei daret, hanc ab eo artem accipere valuit.

ib. XXXIII, 4, (24,) 82 s.: aurea statua prima omnium nulla inanitate et antequam ex aere aliqua modo fieret, quam vocant holosphyraton, in templo Anaetidis posita dicitur quo situ terrarum nomen hoc signavimus, numine gentibus illis sacratissimo. 83. direpta ea est Antonii Parthicis rebus, scitumque narratur veteranorum unius Bononiae hospitali divi Augusti cena, cum interrogatus esset, sciretne eum, qui primus violasset id numen, oculis membrisque captum exspirasse; respondit enim eum maxime Augustum e crure eius cenare seque illum esse totumque sibi censum ex ea rapina.

ib. XXXVII, 9, (49,) 133: celebrant et astrioten, mirasque laudes eius in Magicis artibus Zoroastren cecinisse produnt.

ib. 10, (55,) 150: Bostrychitin Zoroastres crinibus mulierum similiorem vocat.

ib. 10, (57,) 157: Daphnean Zoroastres morbis comitialibus demonstrat.

1 mose vulg muse E -se r musa d mus /// R mus V et ianno E etiamne d -num vulg ante Gelenium 2 lotape ac libb Brot -pea vulg ante Ba iotape Gel iochabela Ba 3 zoroastren RSi -rem rell libb vulg 5 tiridates Ba mitridates (-tidrates E) libb vulg 11 valuit d vulg vol- rell libb 12 statura VR 13 in nulla R vanitate BSi 14 anaetidis B^1 Vdh (Parisinus 6801) vulg ran- B^2 anet- R Anait- Caes cum Ba e Strabone 18 boniae B^1 21 cruore h vulg ante Bergkium 23 astrioten BaSi -tem L(aurentianus plut. LXXXII 1. 2) -roiten vulg -rionem (-ne F) Fdh 24 zoroastren F soroasteren B, produnt BSi quidam (quidd- a quicquam F) diligentius (-tiis F) de ea produnt rell libb vulg quicquam (qui circa eas Hard) diligentes sunt produnt d Hard 26 -tin Si -tē vulg -rygiten B -raciten L om rell libb Gel 28 dapnean B^1 -am d daphniam h vulg ante Si zotrapnes F et oroastres L zoroastres et orchastres vulg ante Gel

ib. 10, (58,) 159: Exhebenum Zoroastres speciosam et candidam tradit, qua aurifices aurum poliant.

Dio Chrysostomus
(c. 40—120 vixit)

Or. (ed. de Budé) 4, 66s.: (Διογένης Ἀλεξάνδρῳ·) οὐκ ἐννενόηκας τὴν τῶν Σακῶν ἑορτήν, ἣν Πέρσαι ἄγουσιν, οὗ νῦν ὥρμηκας στρατεύεσθαι; 67. καὶ ὃς εὐθὺς ἠρώτα, Ποίαν τινά; ἐβούλετο γὰρ πάντα εἰδέναι τὰ τῶν Περσῶν πράγματα. Λαβόντες, ἔφη, τῶν δεσμωτῶν ἕνα τῶν ἐπὶ θανάτῳ καθίζουσιν εἰς τὸν θρόνον τὸν τοῦ βασιλέως, καὶ τὴν ἐσθῆτα διδόασιν αὐτῷ τὴν βασιλικήν, καὶ προστάττειν ἐῶσι καὶ πίνειν καὶ τρυφᾶν καὶ ταῖς παλλακαῖς χρῆσθαι τὰς ἡμέρας ἐκείνας ταῖς βασιλέως, καὶ οὐδεὶς οὐδὲν αὐτὸν κωλύει ποιεῖν ὧν βούλεται. μετὰ δὲ ταῦτα ἀποδύσαντες καὶ μαστιγώσαντες ἐκρέμασαν.

ib. 13, 24: τὸ γυμνοῦσθαι τὸ σῶμα αἴσχιστον αὐτοῖς (sc. τοῖς Πέρσαις) ἐδόκει καὶ τὸ πτύειν ἐν τῷ φανερῷ.

ib. (ed. de Arnim) 36, 39s.: ἕτερος . . . μῦθος ἐν ἀπορρήτοις τελεταῖς ὑπὸ μάγων ἀνδρῶν ᾄδεται θαυμαζόμενος, οἳ τὸν θεὸν τοῦτον (sc. Δία βασιλέα) ὑμνοῦσιν ὡς τέλειόν τε καὶ πρῶτον ἡνίοχον τοῦ τελειοτάτου ἅρματος. τὸ γὰρ Ἡλίου ἅρμα νεώτερόν φασιν εἶναι πρὸς ἐκεῖνο κρινόμενον, φανερὸν δὲ τοῖς πολλοῖς, ἅτε προδήλου γιγνομένης τῆς φορᾶς. ὅθεν κοινῆς φήμης τυγχάνειν, ὡς ἔοικεν, ἀπὸ πρώτων σχεδόν τι τῶν ποιητῶν ⟨τῶν⟩ ἀνατολὰς καὶ δύσεις ἑκάστοτε λεγόντων κατὰ ταὐτὰ πάντων ἐξηγουμένων ζευγνυμένους τε τοὺς ἵππους καὶ τὸν Ἥλιον αὐτὸν ἐπιβαίνοντα τοῦ δίφρου. 40. τὸ δὲ ἰσχυρὸν καὶ τέλειον ἅρμα τὸ Διὸς οὐδεὶς ἄρα ὕμνησεν ἀξίως τῶν τῇδε οὔτε Ὅμηρος οὔτε Ἡσίοδος, ἀλλὰ Ζωροάστρης καὶ μάγων παῖδες ᾄδουσι παρ' ἐκείνου μαθόντες· ὃν Πέρσαι λέγουσιν ἔρωτι σοφίας καὶ δικαιοσύνης ἀποχωρήσαντα τῶν ἄλλων καθ' αὑτὸν ἐν ὄρει τινὶ ζῆν· ἔπειτα ἁφθῆναι τὸ ὄρος πυρὸς ἄνωθεν πολλοῦ κατασκήψαντος συνεχῶς τε κάεσθαι. τὸν οὖν βασιλέα σὺν τοῖς ἐλλογιμωτάτοις Περσῶν ἀφικνεῖσθαι πλησίον, βουλόμενον εὔξασθαι τῷ θεῷ· καὶ τὸν ἄνδρα ἐξελθεῖν ἐκ τοῦ πυρὸς ἀπαθῆ, φανέντα δὲ αὐτοῖς ἵλεων θαρρεῖν κελεῦσαι καὶ θῦσαι θυσίας τινάς, ὡς ἥκοντος εἰς

1 exhebonum a zoroastres dh vulg. zora- B zona- a et oroa- L torastraes F 4 σάκκων U(rbinas 124) 22 κοιναῖς φήμαις codd corr. Reiske 23 ὑπὸ codd corr. Emperius τῶν add. de Arnim

τὸν τόπον τοῦ θεοῦ. 41. συγγίγνεσθαί τε μετὰ ταῦτα οὐχ ἅπασιν, ἀλλὰ τοῖς ἄριστα πρὸς ἀλήθειαν πεφυκόσι καὶ τοῦ θεοῦ ξυνιέναι δυναμένοις, οὓς Πέρσαι μάγους ἐκάλεσαν, ἐπισταμένους θεραπεύειν τὸ δαιμόνιον, οὐχ ὡς Ἕλληνες ἀγνοίᾳ τοῦ ὀνόματος οὕτως ὀνομάζουσιν ἀνθρώπους γόητας. ἐκεῖνοι δὲ τά τε ἄλλα δρῶσι κατὰ λόγους ἱεροὺς καὶ δὴ τῷ Διὶ τρέφουσιν ἅρμα Νισαίων ἵππων· οἱ δέ εἰσι κάλλιστοι καὶ μέγιστοι τῶν κατὰ τὴν Ἀσίαν· τῷ δέ γε Ἡλίῳ ἕνα ἵππον. 42. ἐξηγοῦνται δὲ τὸν μῦθον οὐχ ὥσπερ οἱ παρ' ἡμῖν προφῆται τῶν Μουσῶν ἕκαστα φράζουσι μετὰ πολλῆς πειθοῦς, ἀλλὰ μάλα αὐθαδῶς. εἶναι γὰρ δὴ τοῦ ξύμπαντος μίαν ἀγωγήν τε καὶ ἡνιόχησιν ὑπὸ τῆς ἄκρας ἐμπειρίας τε καὶ ῥώμης γιγνομένην ἀεί, καὶ ταύτην ἄπαυστον ἐν ἀπαύστοις αἰῶνος περιόδοις. τοὺς δὲ Ἡλίου καὶ Σελήνης δρόμους, καθάπερ εἶπον, μερῶν εἶναι κινήσεις, ὅθεν ὑπ' ἀνθρώπων ὁρᾶσθαι σαφέστερον. τῆς δὲ τοῦ ξύμπαντος κινήσεως καὶ φορᾶς μὴ ξυνιέναι τοὺς πολλούς, ἀλλ' ἀγνοεῖν τὸ μέγεθος τοῦδε τοῦ ἀγῶνος. 43. τὸ δὴ μετὰ τοῦτο αἰσχύνομαι φράζειν τῶν ἵππων πέρι καὶ τῆς ἡνιοχήσεως, ὅπως ἐξηγούμενοι λέγουσιν, οὐ πάνυ τι φροντίζοντες ὅμοιόν σφισι γίγνεσθαι πανταχῇ τὸ τῆς εἰκόνος. ἴσως γὰρ ἂν φαινοίμην ἄτοπος παρὰ Ἑλληνικά τε καὶ χαρίεντα ᾄσματα βαρβαρικὸν ᾆσμα ἐπᾴδων· ὅμως δὲ τολμητέον. φασὶ τῶν ἵππων τὸν πρῶτον ἄνωθεν ἀπείρῳ διαφέρειν κάλλει τε καὶ μεγέθει καὶ ταχυτῆτι, ἅτε ἔξωθεν περιτρέχοντα τὸ μήκιστον τοῦ δρόμου, αὐτοῦ Ζηνὸς ἱερόν· πτηνὸν δὲ εἶναι· τὴν δὲ χρόαν λαμπρόν, αὐγῆς τῆς καθαρωτάτης· τὸν δὲ Ἥλιον ἐν αὐτῷ καὶ τὴν Σελήνην σημεῖα προφανῆ ὁρᾶσθαι, ὥσπερ οἶμαι καὶ τῶνδε τῶν ἵππων ἐστὶ σημεῖα, τὰ μὲν μηνοειδῆ, τὰ δὲ ἀλλοῖα. 44. ταῦτα δὲ ὑφ' ἡμῶν ὁρᾶσθαι συνεστραμμένα, καθάπερ ⟨ἐν⟩ αὐγῇ λαμπρᾷ φλογὸς σπινθῆρας ἰσχυροὺς διαθέοντας, ἰδίαν δὲ κίνησιν ἔχειν καθ' αὐτά. καὶ τἄλλα ἄστρα δι' ἐκείνου φαινόμενα καὶ ξύμπαντα ἐκείνου πεφυκότα μέρη τὰ μὲν περιφέρεσθαι σὺν αὐτῷ μίαν ταύτην ἔχοντα κίνησιν, τὰ δὲ ἄλλους θεῖν δρόμους. τυγχάνειν δὲ παρὰ τοῖς ἀνθρώποις ταῦτα μὲν ἰδίου ἕκαστον ὀνόματος· τὰ δὲ ἄλλα κατὰ πλῆθος ἀθρόα, διανενεμημένα εἴς τινα σχήματα καὶ μορφάς. 45. ὁ μὲν δὴ λαμπρότατος ἵππος καὶ ποικιλώτατος αὐτῷ τε Διὶ προσφιλέστατος, ὧδέ

1 συγγίνεσθαι B (Parisinus 2958) συγγενέσθαι UT (Marcianus 421) 5 ἀνθρώπους M αὐτοὺς UBT 7 Νισαίων B νησαίων MUT 21 γενέσθαι T 23 βαρβαρικῶν ᾆσμα UBT ᾆσμα del. Wilamowitz παίδων UBTM (sed ante hoc verbum est in medio rasura; uisse videtur ἐπαύδων Emp) 31 ἐν add. Rei

πως ὑμνούμενος ὑπ' αὐτῶν, θυσίας τε καὶ τιμὰς ἅτε πρῶτος εἰκότως πρώτας ἔλαχεν· δεύτερος δὲ μετ' ἐκεῖνον ἁπτόμενος αὐτοῦ καὶ πλησιώτατος Ἥρας ἐπώνυμος, εὐήνιος καὶ μαλακός, πολὺ δὲ ἥττων κατά τε ῥώμην καὶ τάχος. χροιὰν δὲ τῇ μὲν αὐτοῦ φύσει μέλας, φαιδρύνεται δὲ ἀεὶ τὸ καταλαμπόμενον Ἡλίῳ· τὸ δὲ σκιασθὲν ἐν τῇ περιφορᾷ τὴν αὑτοῦ μεταλαμβάνει τῆς χρόας ἰδέαν. 46. τρίτος Ποσειδῶνος ἱερός, τοῦ δευτέρου βραδύτερος. τούτου δὲ μυθολογοῦσιν εἴδωλον οἱ ποιηταὶ γενέσθαι παρ' ἀνθρώποις, ἐμοὶ δοκεῖν, ὅντινα ὀνομάζουσι Πήγασον, καί φασιν ἀνεῖναι κρήνην ἐν Κορίνθῳ χαράξαντα τῇ ὁπλῇ. ὁ δὲ δὴ τέταρτος εἰκάσαι πάντων ἀτοπώτατος, στερεός τε καὶ ἀκίνητος, οὐχ ὅπως πτερωτός, ἐπώνυμος Ἑστίας. ὅμως δὲ οὐκ ἀποτρέπονται τῆς εἰκόνος, ἀλλὰ ἐνεζεῦχθαί φασι καὶ τοῦτον τῷ ἅρματι, μένειν δὲ κατὰ χώραν χαλινὸν ἀδάμαντος ἐνδακόντα. 47. συνερείδειν δὲ πανταχόθεν αὐτῷ τοῖς μέρεσι, καὶ τὼ δύο τὼ πλησίον ὁμοίως πρὸς αὐτὸν ἐγκλίνειν, ἀτεχνῶς ἐπιπίπτοντε καὶ ὠθουμένω· τὸν δὲ ἐξωτάτω [πρῶτον] ἀεὶ περὶ τὸν ἑστῶτα ὡς νύσσαν φέρεσθαι. τὸ μὲν οὖν πολὺ μετ' εἰρήνης καὶ φιλίας διατελοῦσιν ἀβλαβεῖς ὑπ' ἀλλήλων. ἤδη δέ ποτε ἐν μήκει χρόνου καὶ πολλαῖς περιόδοις ἰσχυρὸν ἆσθμα τοῦ πρώτου προσπεσὸν ἄνωθεν, οἷα δὴ θυμοειδοῦς, ἐθέρμηνε τοὺς ἄλλους, σφοδρότερόν γε μὴν τὸν τελευταῖον· τήν τε δὴ χαίτην περιέφλεξεν αὐτοῦ, ᾗ μάλιστα ἠγάλλετο, καὶ τὸν ἅπαντα κόσμον. 48. τοῦτο δὲ τὸ πάθος ἅπαξ Ἕλληνας μνημονεύοντάς φασι Φαέθοντι προσάπτειν, οὐ δυναμένους μέμφεσθαι τὴν Διὸς ἡνιόχησιν, τούς τε Ἡλίου δρόμους οὐκ ἐθέλοντας ψέγειν. διό φασι νεώτερον ἡνίοχον, Ἡλίου παῖδα θνητόν, ἐπιθυμήσαντα χαλεπῆς καὶ ἀξυμφόρου πᾶσι τοῖς θνητοῖς παιδιᾶς, αἰτησάμενον παρὰ τοῦ πατρὸς ἐπιστῆναι τῷ δίφρῳ, φερόμενόν τε ἀτάκτως πάντα καταφλέξαι ζῷα καὶ φυτά, καὶ τέλος αὐτὸν διαρθαρῆναι πληγέντα ὑπὸ κρείττονος πυρός. 49. πάλιν δὲ ὅταν διὰ πλειόνων ἐτῶν ὁ Νυμφῶν καὶ Ποσειδῶνος ἱερὸς πῶλος ἐπαναστῇ, παρὰ τὸ σύνηθες ἀγωνιάσας καὶ ταραχθείς, ἱδρῶτι πολλῷ κατέκλυσε τὸν αὐτὸν τοῦτον ἅτε ὁμόζυγα· πειρᾶται δὴ τῆς ἐναντίας τῇ πρότερον φθορᾷ, ὕδατι πολλῷ χειμαζόμενος. καὶ τοιοῦτον ἕνα χειμῶνα διηγεῖσθαι τοὺς Ἕλληνας ὑπὸ νεότητός τε καὶ μνήμης ἀσθενοῦς, καὶ [λέγουσι] Δευκαλίωνα βασιλεύ-

19 πρῶτον secl. de Arn 36 κατακλύσῃ Geelius 38 φορᾷ B φορά M τοιοῦτον Emp τοῦτον codd 40 λέγουσι del. Emp secutus Rei

οντα τότε σφίσιν ἀρκέσει πρὸ τῆς παντελοῦς φθορᾶς. 50. ταῦτα δὲ σπανίως ξυμβαίνοντα δοκεῖν μὲν ἀνθρώποις διὰ τὸν αὐτῶν ὄλεθρον γίγνεσθαι μὴ κατὰ λόγον μηδὲ μετέχειν τῆς τοῦ παντὸς τάξεως, λανθάνειν δὲ αὐτοὺς ὀρθῶς γιγνόμενα καὶ κατὰ γνώμην τοῦ σῴζοντος καὶ κυβερνῶντος τὸ πᾶν. εἶναι γὰρ ὅμοιον ὥσπερ ὅταν ἅρματος ἡνίοχος τῶν ἵππων τινὰ κολάζῃ χαλινῷ σπάσας ἢ κέντρῳ ἀψάμενος· ὁ δ' ἐσκίρτησε καὶ ἐταράχθη, παραχρῆμα εἰς δέον καθιστάμενος. μίαν μὲν οὖν ⟨λέγουσι⟩ ταύτην ἡνιόχησιν ἰσχυράν, οὐχ ὅλου φθειρομένου τοῦ παντός.

ib. 49, 7: κοινῇ . . . τὰ ἰσχυρότατα τῶν ἐθνῶν, ἐπειδὴ οὐ δύνανται ἀεὶ βασιλεύεσθαι ὑπὸ τῶν φιλοσόφων, ἐπιστάτας τοῖς βασιλεῦσι καὶ ἄρχοντας τούτους ἀπέδειξαν· Πέρσαι μὲν οἶμαι τοὺς καλουμένους παρ' αὐτοῖς μάγους, οἳ τῆς φύσεως ἦσαν ἔμπειροι καὶ τοὺς θεοὺς ᾔδεσαν ὡς δεῖ θεραπεύειν.

ib. 74, 14: ὁ βασιλεὺς οὐχὶ καὶ τοὺς βασιλείους θεοὺς καὶ τὴν δεξιὰν ἀπέστειλε;

Plutarchus

(c. 46 — post 120 vixit)

Moralia (ed. Bernardakis), de superstit. 13. 171 D: Ἄμηστρις . . . ἡ Ξέρξου γυνὴ δώδεκα κατώρυξεν ἀνθρώπους ζῶντας ὑπὲρ αὐτῆς τῷ Ἅιδῃ.

mul. virt. 263 AB: Ξέρξου . . . καταβαίνοντος ἐπὶ τὴν Ἑλλάδα, λαμπρότατος ἐν ταῖς ὑποδοχαῖς καὶ ταῖς δωρεαῖς γενόμενος (ὁ Πύθης) χάριν ᾐτήσατο παρὰ τοῦ βασιλέως πλειόνων αὐτῷ παίδων ὄντων, ἕνα παρεῖναι τῆς στρατείας καὶ καταλιπεῖν, αὐτῷ γηροβοσκεῖν. ὁ δὲ Ξέρξης ὑπ' ὀργῆς τοῦτον μόνον, ὃν ἐξῃτήσατο, σφάξας καὶ διατεμὼν ἐκέλευσε τὸν στρατὸν διελθεῖν, τοὺς δ' ἄλλους ἐπηγάγετο κτλ.

de Alex. M. fortuna aut virt. I, 5. 328 C: τὴν . . . Ἀλεξάνδρου παιδείαν ἂν ἐπιβλέπῃς, Ὑρκανοὺς γαμεῖν ἐπαίδευσε καὶ γεωργεῖν ἐδίδαξεν Ἀναχωσίους, καὶ Σογδιανοὺς ἔπεισε πατέρας τρέφειν καὶ μὴ φονεύειν, καὶ Πέρσας σέβεσθαι μητέρας ἀλλὰ μὴ γαμεῖν.

ib. II, 6. 338 F: (Δαρεῖος·) εἰ . . . οἴχεται τὰ ἐμά, Ζεῦ πατρῷε Περσῶν καὶ βασίλειοι θεοί, μηδεὶς εἰς τὸν Κύρου θρόνον ἄλλος ἢ Ἀλέξανδρος καθίσειε.

9 λέγουσι add. Rei 12 δύναται UBT 13 ἐπιβάτας M* T 15 οἳ Rei ὅτι codd 18 Rei ὤμοσε inserit post θεούς 26 γηροβοσκόν Cobet

de Is. et Osir. 44. 368 F: πάλαι μὲν τὰς μεγίστας ἐν Αἰγύπτῳ τιμὰς ὁ κύων ἔσχεν· ἐπεὶ δὲ Καμβύσου τὸν Ἆπιν ἀνελόντος καὶ ῥίψαντος οὐδὲν προσῆλθεν οὐδ' ἐγεύσατο τοῦ σώματος ἀλλ' ἢ μόνος ὁ κύων, ἀπώλεσε τὸ πρῶτος εἶναι καὶ μάλιστα τιμᾶσθαι τῶν ἑτέρων ζῴων.

ib. 46 s. 369 D — 370 C: νομίζουσι . . . οἱ μὲν θεοὺς εἶναι δύο καθάπερ ἀντιτέχνους, τὸν μὲν ἀγαθῶν, τὸν δὲ φαύλων δημιουργόν. οἱ δὲ τὸν μὲν ἀμείνονα θεόν, τὸν δ' ἕτερον δαίμονα καλοῦσιν· ὥσπερ Ζωροάστρης ὁ μάγος, ὃν πεντακισχιλίοις ἔτεσι τῶν Τρωικῶν γεγονέναι πρεσβύτερον ἱστοροῦσιν. οὗτος οὖν ἐκάλει τὸν μὲν Ὡρομάζην, τὸν δ' Ἀρειμάνιον· καὶ προσαπεφαίνετο τὸν μὲν ἐοικέναι φωτὶ μάλιστα τῶν αἰσθητῶν, τὸν δ' ἔμπαλιν σκότῳ καὶ ἀγνοίᾳ, μέσον δ' ἀμφοῖν τὸν Μίθρην εἶναι· διὸ καὶ Μίθρην Πέρσαι τὸν Μεσίτην ὀνομάζουσιν. ἐδίδαξε δὲ τῷ μὲν εὐκταῖα θύειν καὶ χαριστήρια, τῷ δ' ἀποτρόπαια καὶ σκυθρωπά. πόαν γάρ τινα κόπτοντες Μῶλυ καλουμένην ἐν ὅλμῳ, τὸν Ἅιδην ἀνακαλοῦνται καὶ τὸν σκότον· εἶτα μίξαντες αἵματι λύκου σφαγέντος εἰς τόπον ἀνήλιον ἐκφέρουσι καὶ ῥίπτουσι. καὶ γὰρ τῶν φυτῶν νομίζουσι τὰ μὲν τοῦ ἀγαθοῦ θεοῦ, τὰ δὲ τοῦ κακοῦ δαίμονος εἶναι· καὶ τῶν ζῴων ὥσπερ κύνας καὶ ὄρνιθας καὶ χερσαίους ἐχίνους τοῦ ἀγαθοῦ, τοῦ δὲ φαύλου τοὺς ἐνύδρους μῦς εἶναι· διὸ καὶ τὸν κτείναντα πλείστους εὐδαιμονίζουσιν. 47. οὐ μὴν ἀλλὰ κἀκεῖνοι πολλὰ μυθώδη περὶ τῶν θεῶν λέγουσιν, οἷα καὶ ταῦτ' ἐστίν. ὁ μὲν Ὡρομάζης ἐκ τοῦ καθαρωτάτου φάους, ὁ δ' Ἀρειμάνιος ἐκ τοῦ ζόφου γεγονώς, πολεμοῦσιν ἀλλήλοις· καὶ ὁ μὲν ἓξ θεοὺς ἐποίησε (τὸν μὲν πρῶτον εὐνοίας, τὸν δὲ δεύτερον ἀληθείας, τὸν δὲ τρίτον εὐνομίας· τῶν δὲ λοιπῶν τὸν μὲν σοφίας, τὸν δὲ πλούτου, τὸν δὲ τῶν ἐπὶ τοῖς καλοῖς ἡδέων δημιουργόν)· ὁ δὲ τούτοις ὥσπερ ἀντιτέχνους ἴσους τὸν ἀριθμόν. εἶθ' ὁ μὲν Ὡρομάζης τρὶς ἑαυτὸν αὐξήσας ἀπέστησε τοῦ ἡλίου τοσοῦτον, ὅσον ὁ ἥλιος τῆς γῆς ἀφέστηκε, καὶ τὸν οὐρανὸν ἄστροις ἐκόσμησεν· ἕνα δ' ἀστέρα πρὸ πάντων οἷον φύλακα καὶ προόπτην ἐγκατέστησε, τὸν σείριον. ἄλλους δὲ ποιήσας τέσσαρας καὶ εἴκοσι θεοὺς εἰς ᾠὸν ἔθηκεν. οἱ δ' ἀπὸ τοῦ Ἀρειμανίου, γενόμενοι καὶ αὐτοὶ

8 τὸν μὲν γὰρ codd γὰρ suppr. Markland 9 ζωροάστρις libb corr. Wyttenbach 14 τὸν Μίθρην] μεσίτην Cumont 17 μῶλυ] codd ὄμωμι corr. Lagarde 22 ὥσπερ καὶ τῶν ζώων Wy 24 μυς corr. Squire 31 ἡδέων] ἰδεῶν Cu ἡδονὴν Wendland

τοσοῦτοι, διατρήσαντες τὸ ᾠὸν γαν ** ὅθεν ἀναμέμικται τὰ κακὰ τοῖς ἀγαθοῖς. ἔπεισι δὲ χρόνος εἱμαρμένος, ἐν ᾧ τὸν Ἀρειμάνιον λοιμὸν ἐπάγοντα καὶ λιμὸν ὑπὸ τούτων ἀνάγκη φθαρῆναι παντάπασι καὶ ἀφανισθῆναι, τῆς δὲ γῆς ἐπιπέδου καὶ ὁμαλῆς γενομένης, ἕνα βίον καὶ μίαν πολιτείαν ἀνθρώπων μακαρίων καὶ ὁμογλώσσων ἁπάντων γενέσθαι. Θεόπομπος δέ φησι κατὰ τοὺς μάγους ἀνὰ μέρος τρισχίλια ἔτη τὸν μὲν κρατεῖν τὸν δὲ κρατεῖσθαι τῶν θεῶν, ἄλλα δὲ τρισχίλια μάχεσθαι καὶ πολεμεῖν καὶ ἀναλύειν τὰ τοῦ ἑτέρου τὸν ἕτερον· τέλος δ' ἀπολείπεσθαι τὸν Ἅιδην, καὶ τοὺς μὲν ἀνθρώπους εὐδαίμονας ἔσεσθαι, μήτε τροφῆς δεομένους μήτε σκιὰν ποιοῦντας· τὸν δὲ ταῦτα μηχανησάμενον θεὸν ἠρεμεῖν καὶ ἀναπαύεσθαι χρόνον, ἄλλως μὲν οὐ πολὺν ὡς θεῷ, ὥσπερ δ' ἀνθρώπῳ κοιμωμένῳ μέτριον. ἡ μὲν οὖν μάγων μυθολογία τοιοῦτον ἔχει τὸν τρόπον.

de def. or. 10. 415 A: ἐμοὶ . . . δοκοῦσι πλείονας λῦσαι καὶ μείζονας ἀπορίας οἱ τὸ τῶν δαιμόνων γένος ἐν μέσῳ θέντες θεῶν καὶ ἀνθρώπων καὶ τρόπον τινὰ τὴν κοινωνίαν ἡμῶν συνάγον εἰς ταὐτὸ καὶ συνάπτον ἐξευρόντες· εἴτε μάγων τῶν περὶ Ζωροάστρην ὁ λόγος οὗτός ἐστιν, εἴτε Θρᾴκιος ἀπ' Ὀρφέως εἴτ' Αἰγύπτιος ἢ Φρύγιος.

de invidia et odio 3. 537 B: οἱ . . . Περσῶν μάγοι τοὺς μῦς ἀπεκτίννυσαν, ὡς αὐτοί τε μισοῦντες καὶ τοῦ θεοῦ δυσχεραίνοντος τὸ ζῷον.

quaest. conviv. IV, 2. 670 D: τί ἄν τις Αἰγυπτίους αἰτιῷτο τῆς τοσαύτης ἀλογίας, ὅπου καὶ τοὺς Πυθαγορικοὺς ἱστοροῦσι καὶ ἀλεκτρύονα λευκὸν σέβεσθαι καὶ τῶν θαλαττίων μάλιστα τρίγλης καὶ ἀκαλήφης ἀπέχεσθαι, τοὺς δ' ἀπὸ Ζωροάστρου μάγους τιμᾶν μὲν ἐν τοῖς μάλιστα τὸν χερσαῖον ἐχῖνον, ἐχθαίρειν δὲ τοὺς ἐνύδρους μῦς καὶ τὸν ἀποκτείνοντα πλείστους θεοφιλῆ καὶ μακάριον νομίζειν;

ad princip. inerudit. 3. 780 C: ὁ . . . Περσῶν βασιλεὺς ἕνα τῶν κατευναστῶν εἶχε πρὸς τοῦτο τεταγμένον, ὥσθ' ἕωθεν εἰσιόντα λέγειν πρὸς αὐτόν 'ἀνάστα, ὦ βασιλεῦ, καὶ φρόντιζε πραγμάτων, ὧν σε φροντίζειν ὁ μέγας Ὡρομάσδης ἠθέλησε'.

1 γαν ** ὅθεν] γανωθὲν Duebner. fort. supplendum τὸ ᾠόν ἄνωθεν (vel ἐπάνωθεν) ἐξήγαγον ἐκείνους· ὅθεν κἑ. Bernardakis ἐγανώθησαν· ὅθεν Cu 10 ἀπολείπεσθαι] ἀπολεῖσθαι Ma 12 μηχανησόμενον Ma Windischmann 13 ἄλλως] Reiske καλῶς codd οὐ] οὖν Söderblom 14 ὡς Reiske τῷ codd. τῷ ⟨δὲ⟩ Söderblom δ' add. Rei καινωμένῳ (κοινουμένῳ?) Böklen 35 μέγας Ὡρομάσθης Kaltwasser μεσορομάσδης codd

de vitando aere alieno 5. 829 C: Πέρσαι . . . τὸ ψεύδεσθαι δεύτερον ἡγοῦνται τῶν ἁμαρτημάτων, πρῶτον δὲ τὸ ὀφείλειν· ὅτι καὶ τὸ ψεύδεσθαι τοῖς ὀφείλουσι συμβαίνει πολλάκις· ψεύδονται δὲ μᾶλλον οἱ δανείζοντες καὶ ῥᾳδιουργοῦσιν ἐν ταῖς ἑαυτῶν ἐφημερίσι, γράφοντες ὅτι τῷ δεῖνι τοσοῦτον διδόασιν, ἔλλαττον διδόντες.

de anim. procr. in Tim. 2. 1012 E: Ζαράτας ὁ Πυθαγόρου διδάσκαλος ταύτην μὲν (sc. τὴν δυάδα) ἐκάλει τοῦ ἀριθμοῦ μητέρα τὸ δ' ἓν πατέρα· διὸ καὶ βελτίονας εἶναι τῶν ἀριθμῶν ὅσοι τῇ μονάδι προσεοίκασι, τοῦτον δὲ μήπω ψυχὴν τὸν ἀριθμὸν εἶναι.

adv. Colot. 14. 1115 A: ποῦ . . . ὧν τῆς ἀοικήτου τὸ βιβλίον ἔγραφες, ἵνα ταῦτα συντιθεὶς τὰ ἐγκλήματα μὴ τοῖς ἐκείνων συντάγμασιν ἐντύχῃς μηδ' ἀναλάβῃς εἰς χεῖρας Ἀριστοτέλους τὰ περὶ οὐρανοῦ καὶ τὰ περὶ ψυχῆς, Θεοφράστου δὲ τὰ πρὸς τοὺς φυσικούς, Ἡρακλείδου δὲ τὸν Ζωροάστρην, τὸ περὶ τῶν ἐν Ἅιδου, τὸ περὶ τῶν φυσικῶς ἀπορουμένων κτλ.

vitae parall. (ed. Sintenis) Num. 4: ἆρα οὖν ἄξιόν ἐστι, ταῦτα συγχωροῦντας ἐπὶ τούτων, ἀπιστεῖν, εἰ Ζαλεύκῳ καὶ Μίνῳ καὶ Ζωροάστρῃ καὶ Νομᾷ καὶ Λυκούργῳ βασιλείας κυβερνῶσι καὶ πολιτείας διακοσμοῦσιν εἰς τὸ αὐτὸ ἐφοίτα τὸ δαιμόνιον;

Lucull. 24: γίνεται σημεῖον αὐτῷ χρηστὸν ἅμα τῇ διαβάσει. βόες ἱεραὶ νέμονται Περσίας Ἀρτέμιδος, ἣν μάλιστα θεῶν οἱ πέραν Εὐφράτου βάρβαροι τιμῶσι· χρῶνται δὲ ταῖς βουσὶ πρὸς θυσίαν μόνον, ἄλλως δὲ πλάζονται κατὰ τὴν χώραν ἄφετοι, χαράγματα φέρουσαι τῆς θεοῦ λαμπάδα, καὶ λαβεῖν ἐξ αὐτῶν, ὅταν δεηθῶσιν, οὐ πάνυ ῥᾴδιόν ἐστιν οὐδὲ μικρᾶς πραγματείας. τούτων μία, τοῦ στρατοῦ διαβάντος τὸν Εὐφράτην, ἐλθοῦσα πρός τινα πέτραν ἱερὰν τῆς θεοῦ νομιζομένην ἐπ' αὐτῆς ἔστη, καὶ καταβαλοῦσα τὴν κεφαλήν, ὥσπερ αἱ δεσμῷ κατατεινόμεναι, θῦσαι τῷ Λουκούλλῳ παρέσχεν αὐτήν.

Themistocl. 27: Θουκυδίδης . . . καὶ Χάρων ὁ Λαμψακηνὸς ἱστοροῦσι τεθνηκότος Ξέρξου πρὸς τὸν υἱὸν αὐτοῦ τῷ Θεμιστοκλεῖ γενέσθαι τὴν ἔντευξιν· Ἔφορος δὲ καὶ Δείνων καὶ Κλείταρχος καὶ Ἡρακλείδης, ἔτι δ' ἄλλοι πλείονες, πρὸς αὐτὸν ἀφικέσθαι τὸν Ξέρξην . . . ὁ δ' οὖν Θεμιστοκλῆς γενόμενος παρ' αὐτὸ τὸ δεινὸν ἐντυγχάνει πρῶτον Ἀρταβάνῳ τῷ χιλιάρχῳ λέγων, Ἕλλην μὲν εἶναι,

16 ἡρακλείτου codd

βούλεσθαι δ' ἐντυχεῖν βασιλεῖ περὶ μεγίστων πραγμάτων καὶ πρὸς ἃ τυγχάνει μάλιστα σπουδάζων ἐκεῖνος. ὁ δέ φησιν, Ὦ ξένε, νόμοι διαφέρουσιν ἀνθρώπων· ἄλλα δ' ἄλλοις καλά· καλὸν δέ πᾶσι τὰ οἰκεῖα κοσμεῖν καὶ σώζειν. ὑμᾶς μὲν οὖν ἐλευθερίαν μάλιστα θαυμάζειν καὶ ἰσότητα λόγος· ἡμῖν δὲ πολλῶν νόμων καὶ καλῶν ὄντων κάλλιστος οὗτός ἐστι, τιμᾶν βασιλέα καὶ προσκυνεῖν ὡς εἰκόνα θεοῦ τοῦ τὰ πάντα σώζοντος. εἰ μὲν οὖν ἐπαινῶν τὰ ἡμέτερα προσκυνήσεις, ἔστι σοὶ καὶ βασιλέα θεάσασθαι καὶ προσειπεῖν· εἰ δ' ἄλλο τι φρονεῖς ἀγγέλοις ἑτέροις χρήσῃ πρὸς αὐτόν. βασιλεῖ γὰρ οὐ πάτριον ἀνδρὸς ἀκροᾶσθαι μὴ προσκυνήσαντος. ταῦτα ὁ Θεμιστοκλῆς ἀκούσας λέγει πρὸς αὐτόν· Ἀλλ' ἔγωγε τὴν βασιλέως, ὦ Ἀρτάβανε, φήμην καὶ δύναμιν αὐξήσων ἀφῖγμαι, καὶ αὐτός τε πείσομαι τοῖς ὑμετέροις νόμοις, ἐπεὶ θεῷ τῷ μεγαλύναντι Πέρσας οὕτω δοκεῖ, καὶ δι' ἐμὲ πλείονες τῶν νῦν βασιλέα προσκυνήσουσιν. ὥστε τοῦτο μηδὲν ἐμποδὼν ἔστω τοῖς λόγοις, οὓς βούλομαι πρὸς ἐκεῖνον εἰπεῖν. Τίνα δ', εἶπεν ὁ Ἀρτάβανος, Ἑλλήνων ἀφῖχθαί σε φῶμεν; οὐ γὰρ ἰδιώτῃ τὴν γνώμην ἔοικας. καὶ ὁ Θεμιστοκλῆς· Τοῦτ οὐκέτ' ἄν, ἔφη, πύθοιτό τις, Ἀρτάβανε, πρότερος βασιλέως. οὕτω μὲν ὁ Φανίας φησίν.

ib. 28: ὁ Πέρσης . . . κατευξάμενος ἀεὶ τοῖς πολεμίοις τοιαύτας φρένας διδόναι τὸν Ἀριμάνιον, ὅπως ἐλαύνωσι τοὺς ἀρίστους ἐξ ἑαυτῶν, θῦσαί τε τοῖς θεοῖς λέγεται καὶ πρὸς πόσιν εὐθὺς τραπέσθαι καὶ νύκτωρ ὑπὸ χαρᾶς διὰ μέσων τῶν ὕπνων βοῆσαι τρίς· „ἔχω Θεμιστοκλέα τὸν Ἀθηναῖον".

Alex. 30: ταχὺ μέντοι μετεμελήθη τῆς Δαρείου γυναικὸς ἀποθανούσης ἐν ὠδῖσι· καὶ φανερὸς ἦν ἀνιώμενος ὡς ἐπίδειξιν οὐ μικρὰν ἀφῃρημένος χρηστότητος. ἔθαψεν οὖν τὴν ἄνθρωπον οὐδεμιᾶς πολυτελείας φειδόμενος. τῶν δὲ θαλαμηπόλων τις εὐνούχων, οἳ συνεαλώκεισαν ταῖς γυναιξίν, ἀποδρὰς ἐκ τοῦ στρατοπέδου καὶ πρὸς Δαρεῖον ἀφιππασάμενος, Τείρεως ὄνομα, φράζει τὸν θάνατον αὐτῷ τῆς γυναικός. ὡς δὲ πληξάμενος τὴν κεφαλὴν καὶ ἀνακλαύσας „Φεῦ τοῦ Περσῶν" ἔφη „δαίμονος, [εἰ] τὴν βασιλέως γυναῖκα καὶ ἀδελφὴν οὐ μόνον αἰχμάλωτον γενέσθαι ζῶσαν, ἀλλὰ καὶ τελευτήσασαν ἄμοιρον κεῖσθαι ταφῆς βασιλικῆς" ὑπολαβὼν ὁ θαλαμηπόλος „Ἀλλὰ ταφῆς γε χάριν" εἶπεν „ὦ βασιλεῦ, καὶ τιμῆς ἁπάσης καὶ τοῦ πρέποντος οὐδὲν ἔχεις αἰτιάσασθαι τὸν πονηρὸν δαίμονα Περσῶν. οὔτε γὰρ

35 Τείρεως P(alatinus 169) Τίρεως vulg 37 εἰ del. Schaefer

Ζώσῃ τῇ δεσποίνῃ Στατείρᾳ καὶ μητρὶ σῇ καὶ τέκνοις ἐνέδει τῶν πρόσθεν ἀγαθῶν καὶ καλῶν ἢ τὸ σὸν ὁρᾶν φῶς, ὃ πάλιν ἀναλάμψει λαμπρὸν ὁ κύριος Ὠρομάσδης, οὔτε ἀποθανοῦσα κόσμου τινὸς ἄμοιρος γέγονεν, ἀλλὰ καὶ πολεμίων τετίμηται δάκρυσιν. οὕτω γὰρ ἔστι χρηστὸς κρατήσας Ἀλέξανδρος, ὡς δεινὸς μαχόμενος". ταῦτα ἀκούσαντα Δαρεῖον ἡ ταραχὴ καὶ τὸ πάθος ἐξέφερε πρὸς ὑποψίας ἀτόπους· καὶ τὸν εὐνοῦχον ἐνδοτέρω τῆς σκηνῆς ἀπαγαγὼν „Εἰ μὴ καὶ σὺ μετὰ τῆς Περσῶν" ἔφη „τύχης μακεδονίζεις, ἀλλ' ἔτι σοι δεσπότης ἐγὼ Δαρεῖος, εἰπέ μοι σεβόμενος Μίθρου τε φῶς μέγα καὶ δεξιὰν βασίλειον, ἆρα μὴ τὰ μικρότατα τῶν Στατείρας κλαίω κακῶν, οἰκτρότερα δὲ ζώσης ἐπάσχομεν καὶ μᾶλλον ἂν κατ' ἀξίαν ἐδυστυχοῦμεν ὠμῷ καὶ σκυθρωπῷ περιπεσόντες ἐχθρῷ; τί γὰρ εὐπρεπὲς ἀνδρὶ νέῳ πρὸς ἐχθροῦ γυναῖκα καὶ μέχρι τιμῆς τοσαύτης συμβόλαιον;" ἔτι λέγοντος αὐτοῦ καταβαλὼν ἐπὶ τοὺς πόδας Τείρεως αὐτὸν ἱκέτευεν εὐφημεῖν καὶ μήτε Ἀλέξανδρον ἀδικεῖν μήτε τὴν τεθνεῶσαν ἀδελφὴν καὶ γυναῖκα καταισχῦναι, μήτε αὑτοῦ τὴν μεγίστην ὧν ἔπταικεν ἀφαιρεῖσθαι παραμυθίαν, τὸ δοκεῖν ὑπ' ἀνδρὸς ἡττῆσθαι κρείττονος ἢ κατὰ τὴν ἀνθρωπίνην φύσιν, ἀλλὰ καὶ θαυμάζειν Ἀλέξανδρον, ὡς πλείονα ταῖς Περσῶν γυναιξὶ σωφροσύνην ἢ Πέρσαις ἀνδρείαν ἐπιδεδειγμένον.

ib 69: τὸν Κύρου τάφον εὑρὼν διορωρυγμένον ἀπέκτεινε τὸν ἀδικήσαντα, καίτοι Πελλαῖος ἦν οὐ τῶν ἀσημοτάτων ὁ πλημμελήσας, ὄνομα Πολύμαχος. τὴν δὲ ἐπιγραφὴν ἀναγνοὺς ἐκέλευσεν Ἑλληνικοῖς ὑποχαράξαι γράμμασιν. εἶχε δὲ οὕτως· „Ὦ ἄνθρωπε, ὅστις εἶ καὶ ὅθεν ἥκεις, ὅτι μὲν γὰρ ἥξεις, οἶδα, ἐγὼ Κῦρος εἰμὶ ὁ Πέρσαις κτησάμενος τὴν ἀρχήν. μὴ οὖν τῆς ὀλίγης μοι ταύτης γῆς φθονήσῃς, ἣ τοὐμὸν σῶμα περικαλύπτει."

Artax. 3: ὀλίγῳ . . . ὕστερον ἢ τελευτῆσαι Δαρεῖον ἐξήλασεν εἰς Πασαργάδας ὁ βασιλεύς, ὅπως τελεσθείη τὴν βασιλικὴν τελετὴν ὑπὸ τῶν ἐν Πέρσαις ἱερέων. ἔστι δὲ θεᾶς πολεμικῆς ἱερόν, ἣν Ἀθηνᾶν ἄν τις εἰκάσειεν. εἰς τοῦτο δεῖ τὸν τελούμενον παρελθόντα τὴν μὲν ἰδίαν ἀποθέσθαι στολήν, ἀναλαβεῖν δὲ ἣν Κῦρος ὁ παλαιὸς ἐφόρει πρὶν ἢ βασιλεὺς γενέσθαι, καὶ σύκου παλάθης ἐμφαγόντα τερμίνθου κατατραγεῖν καὶ ποτήριον ἐκπιεῖν ὀξυγάλακτος. εἰ δὲ πρὸς τούτοις ἕτερ' ἄττα δρῶσιν, ἄδηλόν ἐστι τοῖς ἄλλοις.

ib. 4: οὐδὲν . . . ἦν οὕτως μικρόν τι τῶν διδομένων,

35 ἄν add. C ... us

ὃ μὴ προσεδέξατο προθύμως, ἀλλὰ καὶ ῥόαν μίαν ὑπερφυῆ μεγέθει προσενέγκαντος Ὠμίσου τινὸς αὐτῷ· „Νὴ τὸν Μίθραν“ εἶπεν „οὗτος ὁ ἀνὴρ καὶ πόλιν ἂν ἐκ μικρᾶς ταχὺ ποιήσειε μεγάλην πιστευθείς“.

ib. 6: μεγαληγορῶν . . . περὶ αὑτοῦ πολλὰ καὶ καρδίαν ἔφη τοῦ ἀδελφοῦ φορεῖν βαρυτέραν καὶ φιλοσοφεῖν μᾶλλον καὶ μαγεύειν βέλτιον, οἶνον δὲ πλείονα πίνειν καὶ φέρειν· ἐκεῖνον δὲ ὑπὸ δειλίας καὶ μαλακίας ἐν μὲν τοῖς κυνηγεσίοις μηδὲ ἐφ' ἵππου, ἐν δὲ τοῖς κινδύνοις μηδὲ ἐπὶ τοῦ θρόνου καθῆσθαι.

ib 10: πίπτει . . . ὁ Κῦρος, ὡς μὲν ἔνιοι λέγουσι, πληγεὶς ὑπὸ τοῦ βασιλέως, ὡς δὲ ἕτεροί τινες, Καρὸς ἀνθρώπου πατάξαντος, ᾧ γέρας ἔδωκε τῆς πράξεως ταύτης ὁ βασιλεὺς ἀλεκτρυόνα χρυσοῦν ἐπὶ δόρατος ἀεὶ πρὸ τῆς τάξεως ἐν ταῖς στρατείαις κομίζειν· καὶ γὰρ αὐτοὺς τοὺς Κᾶρας ἀλεκτρυόνας οἱ Πέρσαι διὰ τοὺς λόφους, οἷς κοσμοῦσι τὰ κράνη, προσηγόρευον.

ib. 14: Ἀρβάκην . . . τινὰ Μῆδον ἐν τῇ μάχῃ πρὸς Κῦρον φυγόντα καὶ πάλιν ἐκείνου πεσόντος μεταστάντα δειλίαν καὶ μαλακίαν καταγνούς, οὐ προδοσίαν οὐδὲ κακόνοιαν, ἐκέλευσε γυμνὴ νἀναλαβόντα πόρνην περιβάδην ἐπὶ τοῦ τραχήλου δι' ἡμέρας ὅλης ἐν ἀγορᾷ περιφέρειν. ἑτέρου δὲ πρὸς τῷ μεταστῆναι ψευσαμένου καταβαλεῖν δύο τῶν πολεμίων, προσέταξε διαπεῖραι τρισὶ βελόναις τὴν γλῶτταν.

ib. 15: οἱ μὲν . . . ἄλλοι τὸ τέλος ἤδη τοῦ Μιθριδάτου καὶ τὴν κακοδαιμονίαν ὁρῶντες εἰς τὴν γῆν ἔκυψαν· ὁ δ' ἑστιῶν αὐτούς· „Ὦ τᾶν“ ἔφη „Μιθριδάτα, πίνωμεν ἐν τῷ παρόντι καὶ ἐσθίωμεν τὸν βασιλέως δαίμονα προσκυνοῦντες, λόγους δὲ μείζους ἢ καθ' ἡμᾶς ἐάσωμεν“.

ib. 23: ἐκ . . . τούτου πάντα πρὸς χάριν ὑπουργοῦσα βασιλεῖ, καὶ τῷ πρὸς μηδὲν ὧν ἐκεῖνος ἔπραττε δυσκολαίνειν ἔχουσα τὸ δύνασθαι παρ' αὐτῷ καὶ τυγχάνειν ἁπάντων ᾔσθετο τῆς ἑτέρας τῶν θυγατέρων, Ἀτόσσης, ἐρῶντος ἔρωτα δεινόν, ἐπικρυπτομένου δὲ δι' ἐκείνην οὐχ ἥκιστα καὶ κολάζοντος τὸ πάθος, ὥς φασιν ἔνιοι, καίτοι γεγενημένης ἤδη πρὸς τὴν παρθένον ὁμιλίας αὐτῷ λαθραίας. ὡς οὖν ὑπώπτευσεν ἡ Παρύσατις, τὴν παῖδα μᾶλλον ἢ πρότερον ἠσπάζετο καὶ πρὸς τὸν Ἀρτοξέρξην ἐπῄνει τό τε κάλλος αὐτῆς καὶ τὸ ἦθος, ὡς βασιλικῆς καὶ μεγαλοπρεποῦς. τέλος οὖν γῆμαι τὴν κόρην ἔπεισε καὶ

2 legitur etiam Ῥωμίσου Stephanus 18 ἀρβάκιον C(Parisinus 1675)

γνησίαν ἀποδεῖξαι γυναῖκα χαίρειν ἐάσαντα δόξας Ἑλλήνων καὶ νόμους, Πέρσαις δὲ νόμον αὐτὸν ὑπὸ τοῦ θεοῦ καὶ δικαιωτὴν αἰσχρῶν καὶ καλῶν ἀποδεδειγμένον. ἔνιοι μέντοι λέγουσιν, ὧν ἐστὶ καὶ Ἡρακλείδης ὁ Κυμαῖος, οὐ μίαν μόνον τῶν θυγατέρων, ἀλλὰ καὶ δευτέραν, Ἄμηστριν, γῆμαι τὸν Ἀρτοξέρξην, περὶ ἧς ὀλίγον ὕστερον ἀπαγγελοῦμεν. τὴν δ' Ἄτοσσαν οὕτως ἠγάπησεν ὁ πατὴρ συνοικοῦσαν, ὥστε ἀλφοῦ κατανεμηθέντος αὐτῆς τὸ σῶμα, δυσχερᾶναι μὲν ἐπὶ τούτῳ μηδ' ὁτιοῦν, εὐχόμενος δὲ περὶ αὐτῆς τῇ Ἥρᾳ προσκυνῆσαι μόνην θεῶν ἐκείνην ταῖς χερσὶ τῆς γῆς ἁψάμενος, δῶρά τε τῇ θεῷ τοσαῦτα πέμψαι τοὺς σατράπας καὶ φίλους αὐτοῦ κελεύσαντος, ὥστε τὰ μεταξὺ τοῦ ἱεροῦ καὶ τῶν βασιλείων ἑκκαίδεκα στάδια χρυσοῦ καὶ ἀργύρου καὶ πορφύρας καὶ ἵππων ἐμπλησθῆναι.

ib. 26: Ὦχος . . . ἐκείνην (sc. Ἄτοσσαν) ἐθεράπευεν ὡς γαμησομένην καὶ συμβασιλεύσουσαν αὐτῷ μετὰ τὴν τοῦ πατρὸς τελευτήν. ἦν δὲ λόγος, ὅτε καὶ ζῶντος ἐλάνθανεν αὐτῇ πλησιάζων.

ib. 27: τῆς . . . Ἀρτέμιδος τῆς ἐν Ἐκβατάνοις, ἣν Ἀναΐτιν καλοῦσιν, ἱέρειαν ἀπέδειξεν αὐτήν (sc. Ἀσπασίαν), ὅπως ἁγνὴ διάγῃ τὸν ἐπίλοιπον βίον.

ib. 28: ὁ . . . Ἑλληνικοῦ χάριν γυναίου τὸν ἄψευστον ἐν Πέρσαις ψευσάμενος νόμον οὐ δή που πιστός ἐστι τὰς περὶ τῶν μεγίστων ὁμολογίας ἐμπεδώσειν.

ib. 29: ἔνιοί φασι . . . εἶτα εἰς τὴν αὐλὴν προελθόντα τὸν Ἥλιον προσκυνῆσαι καὶ εἰπεῖν· „Εὐφραίνεσθε ἀπιόντες, ὦ Πέρσαι, καὶ λέγετε τοῖς ἄλλοις, ὅτι τοῖς ἀθέσμα καὶ παράνομα διανοηθεῖσιν ὁ μέγας Ὡρομάζης δίκην ἐπιτέθεικεν."

Pseudo-Plutarchus

(inde ab saec. 2 scripsit)

par. graeca et rom. (Plutarchi Moralia ed. Bernardakis) 2 (= Stob., floril. VII, 63): Ξέρξης μετὰ πεντακοσίων μυριάδων Ἀρτεμισίῳ προσορμίσας πόλεμον τοῖς ἐγχωρίοις κατήγγειλεν· Ἀθηναῖοι δὲ συγκεχυμένοι κατάσκοπον ἔπεμψαν Ἀγησίλαον, τὸν Θεμιστοκλέους ἀδελφόν, καίπερ Νεοκλέους τοῦ πατρὸς αὐτοῦ, κατ' ὄναρ ἑωρακότος ἀμφοτέρας ἀποβεβληκότα τὰς χεῖρας. παραγενόμενος δὲ εἰς τοὺς βαρβάρους ἐν σχήματι Περσικῷ Μαρδόνιον

20 Ἀναίτην Solanus Ἀνεῖτιν vulg ἀνείτην A(Parisinus 1671) 28 ὡρομάζης P(alatinus 238) B (Parisinus 1672) CD (Par. (1674) G (Par.1679) Ὡρωμάζης vulg

ἕνα τῶν σωματοφυλάκων ἀνεῖλεν, ὑπολαμβάνων Ξέρξην εἶναι. συλληφθεὶς δὲ πρὸς τῶν περὶ Ξ δέσμιος ἤχθη πρὸς τὸν βασιλέα. βουθυτεῖν δὲ τοῦ προειρημένου μέλλοντος ἐπὶ τῷ τοῦ ἡλίου βωμῷ, τὴν δεξιὰν ἐπέθηκε χεῖρα, καὶ ἀστενάκτως ὑπομείνας τὴν ἀνάγκην τῶν βασάνων ἠλευθερώθη τῶν δεσμῶν εἰπών· 'πάντες ἐσμὲν τοιοῦτοι Ἀθηναῖοι· εἰ δ' ἀπιστεῖς, καὶ τὴν ἀριστερὰν ἐπιθήσω.' φοβηθεὶς δὲ ὁ Ξέρξης φρουρεῖσθαι αὐτὸν προσέταξε· καθάπερ ἱστορεῖ Ἀγαθαρχίδης Σάμιος ἐν δευτέρᾳ τῶν Περσικῶν.

Juvenalis

(c. 47—127 vixit)

sat. (ed. Housman) X, 176 s.: credimus . . .
. . . madidis cantat quae Sostratus alis;
ille (sc. Xerxes) tamen qualis rediit Salamine relicta,
in Corum atque Eurum solitus saevire flagellis
barbarus Aeolio nunquam hoc in carcere passos,
ipsum conpedibus qui vinxerat Ennosigaeum
(mitius id sane quod non et stigmate dignum
credidit: huic quisquam vellet servire deorum?)

Aelius Theo

(c. 100 p. Chr. vixit)

progymnasm. 9. 234 s. (Spengel, rhet. gr. II, 114 s.): οὐ γὰρ εἰ Τόμυρις ἡ Μασσαγέτις, ἢ Σπαρέθρα ἡ Ἀμόργου τοῦ Σακῶν βασιλέως γυνὴ κρείττων ἐστὶ Κύρου, ἢ καὶ ναὶ μὰ Δία Σεμίραμις Ζωρωάστρου τοῦ Βακτρίου, ἤδη συγχωρητέον καὶ τὸ θῆλυ τοῦ ἄρρενος εἶναι ἀνδρειότερον, μιᾶς μὲν ἢ δύο γυναικῶν ἀνδρειοτάτων οὐσῶν, ἀρρένων δὲ παμπόλλων.

Tacitus

(sub Hadriano mortuus est)

ann. (ed. Halm-Andresen) III, 62: altius Hierocaesarienses exposuere: Persicam aput se Dianam, delubrum rege Cyro dedicatum.

ib. VI, 37: Vitellius . . . hortatus Tiridaten parata capessere, robur legionum sociorumque ripam ad Euphratis ducit. sacrificantibus, cum hic more Romano suovetaurilia daret, ille equum placando amni adornasset, nuntiavere accolae Euphraten . . . attolli etc.

16 aut pro quod — credidit cum Webero quid? . . . credidit? scribendum videtur aut pro vellet reponendum nollet, ne tam subito deseratur ironia 26 regi Freinsheim

ib. XV, 24: legati Parthorum mandata regis Vologaesis litterasque in eandem formam attulere: ... non ... recusaturum Tiridaten accipiendo diademati in urbem venire, nisi sacerdotii religione attineretur.

Philo Byblius

(eodem tempore scripsit)

apud Euseb., praep. ev. (ed. Gaisford) I, 10. 42ab: Ζωροάστρης ... ὁ μάγος ἐν τῇ ἱερᾷ συναγωγῇ τῶν Περσικῶν φησι κατὰ λέξιν· ὁ δὲ θεός ἐστι κεφαλὴν ἔχων ἱέρακος. οὗτός ἐστιν ὁ πρῶτος ἄφθαρτος, ἀΐδιος, ἀγένητος, ἀμερής, ἀνομοιότατος, ἡνίοχος παντὸς καλοῦ, ἀδωροδόκητος, ἀγαθῶν ἀγαθώτατος, φρονίμων φρονιμώτατος· ἔστι δὲ καὶ πατὴρ εὐνομίας καὶ δικαιοσύνης, αὐτοδίδακτος, φυσικός, καὶ τέλειος, καὶ σοφός, καὶ ἱεροῦ φυσικοῦ μόνος εὑρετής. τὰ δ' αὐτὰ καί Ὀστάνης φησὶ περὶ αὐτοῦ ἐν τῇ ἐπιγραφομένῃ Ὀκτατεύχῳ.

Cephalio

(eodem tempore scripsit)

vid. sub Clemente Alexandrino.

Zenobius

(sub Hadriano floruit)

ἐπιτομὴ ἐκ τῶν Ταῤῥαίου καὶ Διδύμου παροιμιῶν (paroemiogr. gr. ed. Leutsch et Schneidewin I) V, 78: Εὔανδρος ἔφη ὀκτὼ τοὺς πάντων εἶναι κρατοῦντας θεούς· Πῦρ, Ὕδωρ, Γῆν, Οὐρανόν, Σελήνην, Ἥλιον, Μίθραν, Νύκτα.

Minucius Felix

(sub Hadriano vel Antonino Pio scripsit)

Octavius (ed. Schoene) 26, 10s.: magi ... non tantum sciunt daemonas, sed etiam quicquid miraculi ludunt, per daemonas faciunt: illis adspirantibus et infundentibus praestigias edunt, 11. vel quae non sunt videri vel quae sunt non videri. eorum magorum et eloquio et negotio primus Hostanes et verum deum merita maiestate prosequitur et angelos, id est ministros et nuntios dei sedem tueri eiusque veneratione novit adsistere, ut et nutu ipso et vultu domini territi contremescant. idem etiam daemonas prodidit terrenos, vagos, humanitatis inimicos.

ib. 31, 3: ius est apud Persas, misceri cum matribus.

7 ἱέρακος] κτιστὴς ὁ μέγας criticus nescio quis 24 Hostanes Gelenius sosthenes P(arisinus 1661) sed et veri (sed et erasum) P corr. Hartel.

Arrianus
(c. 95—175 vixit)

anab. (ed. Roos) VI, 29, 1. 4 s.: καὐτὸς (Ἀλέξανδρος) . . . ἤει τὴν ἐπὶ Πασαργάδας τῆς Περσίδος . . . 4. ἐλύπησε δὲ αὐτὸν ἡ παρανομία ἡ ἐς τὸν Κύρου τοῦ Καμβύσου τάφον, ὅτι διορωρυγμένον τε καὶ σεσυλημένον κατέλαβε τοῦ Κύρου τὸν τάφον, ὡς λέγει Ἀριστόβουλος . . . 5. αὐτὸν δὲ τὸν τάφον τὰ μὲν κάτω λίθου τετραπέδου ἐς τετράγωνον σχῆμα πεποιῆσθαι· ἄνωθεν δὲ οἴκημα ἐπεῖναι λίθινον ἐστεγασμένον, θυρίδα ἔχον φέρουσαν εἴσω στενήν, ὡς μόλις ἂν ⟨εἶναι⟩ ἑνὶ ἀνδρὶ οὐ μεγάλῳ πολλὰ κακοπαθοῦντι παρελθεῖν. ἐν δὲ τῷ οἰκήματι πύελον χρυσῆν κεῖσθαι, ἵνα τὸ σῶμα τοῦ Κύρου ἐτέθαπτο, καὶ κλίνην παρὰ τῇ πυέλῳ· πόδας δὲ εἶναι τῇ κλίνῃ χρυσοῦς σφυρηλάτους, καὶ τάπητα ἐπίβλημα τῶν Βαβυλωνίων, καὶ καυνάκας πορφυροῦς ὑποστρώματα. 6. ἐπεῖναι δὲ καὶ κάνδυς καὶ ἄλλους χιτῶνας τῆς Βαβυλωνίου ἐργασίας. καὶ ἀναξυρίδες Μηδικαὶ καὶ στολαὶ ὑακινθινοβαφεῖς λέγει ὅτι ἔκειντο, αἱ δὲ πορφύρας, αἱ δὲ ἄλλης καὶ ἄλλης χρόας, καὶ στρεπτοὶ καὶ ἀκινάκαι καὶ ἐνώτια χρυσοῦ τε καὶ λίθων κολλητά, καὶ τράπεζα ἔκειτο. ἐν μέσῳ δὲ τῆς κλίνης ἡ πύελος ἔκειτο ἡ τὸ σῶμα τοῦ Κύρου ἔχουσα. 7. εἶναι δὲ ἐντὸς τοῦ περιβόλου πρὸς τῇ ἀναβάσει τῇ ἐπὶ τὸν τάφον φερούσῃ οἴκημα σμικρὸν τοῖς Μάγοις πεποιημένον, οἳ δὴ ἐφύλασσον τὸν Κύρου τάφον, ἔτι ἀπὸ Καμβύσου τοῦ Κύρου, παῖς παρὰ πατρὸς ἐκδεχόμενος τὴν φυλακήν. καὶ τούτοις πρόβατόν τε ἐς ἡμέραν ἐδίδοτο ἐκ βασιλέως καὶ ἀλεύρων τε καὶ οἴνου τεταγμένα καὶ ἵππος κατὰ μῆνα ἐς θυσίαν τῷ Κύρῳ. ἐπεγέγραπτο δὲ ὁ τάφος Περσικοῖς γράμμασι· καὶ ἐδήλου Περσιστὶ τάδε· ὦ ἄνθρωπε, ἐγὼ Κῦρός εἰμι ὁ Καμβύσου ὁ τὴν ἀρχὴν Πέρσαις καταστησάμενος καὶ τῆς Ἀσίας βασιλεύσας. μὴ οὖν φθονήσῃς μοι τοῦ μνήματος.

Ptolemaeus
(c. 100—178 vixit)

tetrabibl. (ed. Norimberg.) II p. 17: τὰ . . . ἄλλα μέρη τὰ περιέχοντα Ἰνδικὴν Ἀριανὴν Γεδρωσίαν, Παρθίαν, Μηδίαν, Περσίδα, Βαβυλωνίαν, Μεσοποταμίαν, Ἀσσυρίαν . . . οἰκοδεσποτοῦνται . . . ὑπὸ τοῦ τῆς Ἀφροδίτης καὶ τοῦ Κρόνου ἐπὶ ἑῴων σχηματισμῶν· διόπερ καὶ τὰς φύσεις

9 εἶναι add. Roos εἶναι pro ἑνὶ Krueger 13 ἐπίβλημα τῶν Roehl ἐπιβλημάτων A (Vindobonensis hist. 4)

τῶν ἐν αὐτοῖς ἀκολούθως ἄν τις εὕροι τοῖς ὑπὸ τῶν οὕτως οἰκοδεσποτησάντων ἀποτελουμένας· σέβουσί τε γὰρ τὸν μὲν τῆς Ἀφροδίτης Ἶσιν ὀνομάζοντες, τὸν δὲ τοῦ Κρόνου * * * Μίθραν δὲ τὸν ἥλιον. καὶ προθεσπίζουσιν οἱ πολλοὶ τὰ μέλλοντα.

Lucianus

(c. 120—180 vixit)

(ed. Sommerbrodt) Men. 6 s. 463 s.: (Μένιππος·) καί μοί ποτε . . . . . . ἔδοξεν ἐς Βαβυλῶνα ἐλθόντα δεηθῆναι τινος τῶν μάγων τῶν Ζωροάστρου μαθητῶν καὶ διαδόχων, ἤκουον δὲ αὐτοὺς ἐπῳδαῖς καὶ τελεταῖς τισιν ἀνοίγειν τε τοῦ Ἅιδου τὰς πύλας καὶ κατάγειν ὃν ἂν βούλωνται ἀσφαλῶς καὶ ὀπίσω αὖθις ἀναπέμπειν. ἄριστον οὖν ἡγούμην εἶναι παρά τινος τούτων διαπραξάμενον τὴν κατάβασιν ἐλθόντα παρὰ Τειρεσίαν τὸν Βοιώτιον μαθεῖν παρ' αὐτοῦ ἅτε μάντεως καὶ σοφοῦ, τίς ἐστιν ὁ ἄριστος βίος καὶ ὃν ἄν τις ἕλοιτο εὖ φρονῶν· καὶ δὴ ἀναπηδήσας ὡς εἶχον τάχους ἔτεινον εὐθὺ Βαβυλῶνος. ἐλθὼν δὲ συγγίγνομαί τινι τῶν Χαλδαίων σοφῷ ἀνδρὶ καὶ θεσπεσίῳ τὴν τέχνην, πολιῷ μὲν τὴν κόμην, γένειον δὲ μάλα σεμνὸν καθειμένῳ, τοὔνομα δὲ ἦν αὐτῷ Μιθροβαρζάνης· δεηθεὶς δὲ καὶ καθικετεύσας μόγις ἐπέτυχον παρ' αὐτοῦ, ἐφ' ὅτῳ βούλοιτο μισθῷ, καθηγήσασθαί μοι τῆς ὁδοῦ. 7. παραλαβὼν δέ με ὁ ἀνὴρ πρῶτα μὲν ἡμέρας ἐννέα καὶ εἴκοσιν ἅμα τῇ σελήνῃ ἀρξάμενος ἔλουε κατάγων ἕωθεν ἐπὶ τὸν Εὐφράτην, πρὸς ἀνίσχοντα τὸν ἥλιον ῥῆσίν τινα μακρὰν ἐπιλέγων, ἧς οὐ σφόδρα κατήκουον· ὥσπερ γὰρ οἱ φαῦλοι τῶν ἐν τοῖς ἀγῶσι κηρύκων ἐπίτροχόν τι καὶ ἀσαφὲς ἐφθέγγετο· πλὴν ἐῴκει γέ τινας ἐπικαλεῖσθαι δαίμονας. μετὰ δ' οὖν τὴν ἐπῳδὴν τρὶς ἄν μου πρὸς τὸ πρόσωπον ἀποπτύσας, ἐπανῄει πάλιν οὐδένα τῶν ἀπαντώντων προσβλέπων· καὶ σιτία μὲν ἦν ἡμῖν τὰ ἀκρόδρυα, ποτὸν δὲ γάλα καὶ μελίκρατον καὶ τὸ τοῦ Χοάσπου ὕδωρ, εὐνὴ δὲ ὑπαίθριος ἐπὶ τῆς πόας. ἐπεὶ δὲ ἅλις εἶχε τῆς προδιαιτήσεως, περὶ μέσας νύκτας ἐπὶ τὸν Τίγρητα ποταμὸν ἀγαγὼν ἐπάθηρέ τέ με καὶ ἀπέμαξε καὶ περιήγνισε δᾳδὶ καὶ σκίλλῃ καὶ ἄλλοις πλείοσιν ἅμα καὶ τὴν ἐπῳδὴν ἐκείνην ὑποτονθορύσας, εἶτα ὅλον με καταμαγεύσας [καὶ] περιελθών, ἵνα μὴ βλαπτοίμην ὑπὸ τῶν φασμάτων, ἐπανάγει ἐς

3 Ἶσιν] Ἀναῖτιν Cumont ⟨Βῆλον αὐτὸν ὥσπερ καὶ⟩ Μίθραν Cu
8 Ζωροάστου G(orlicensis) 19 Μιθροβαζάνης B(Vindobonensis 123) 29 ἁπάντων Ω (Marcianus 434) ἁπάντων τούτων C (Parisinus 3011)

τὴν οἰκίαν, ὡς εἶχον, ἀναποδίζοντα, καὶ τὸ λοιπὸν ἀμφὶ πλοῦν εἴχομεν. 8. αὐτὸς μὲν οὖν μαγικήν τινα ἐνέδυ στολὴν τὰ πολλὰ ἐοικυῖαν τῇ Μηδικῇ, ἐμὲ δὲ τουτοισὶ φέρων ἐνεσκεύασε τῷ πίλῳ καὶ τῇ λεοντῇ καὶ προσέτι τῇ λύρᾳ καὶ παρεκελεύσατο, ἤν τις ἔρηταί με τοὔνομα, Μένιππον μὲν μὴ λέγειν, Ἡρακλέα δὲ ἢ Ὀδυσσέα ἢ Ὀρφέα.

de luctu 21. 932: μέχρι μὲν θρήνων ὁ αὐτὸς ἅπασιν νόμος τῆς ἀβελτερίας· τὸ δὲ ἀπὸτούτου διελόμενοι κατὰ ἔθνη τὰς ταφὰς ὁ μὲν Ἕλλην ἔκαυσεν, ὁ δὲ Πέρσης ἔθαψεν, ὁ δὲ Ἰνδὸς ὑάλῳ περιχρίει, ὁ δὲ Σκύθης κατεσθίει, ταριχεύει δὲ ὁ Αἰγύπτιος.

navig. 30. 267: Λύκινος· Ἀλλὰ τῆς μὲν τιμῆς, ὦ βασιλεῦ, χάριν οἶδά σοι καὶ ὑποκύψας ἐς τὸ Περσικὸν προσκυνῶ σε περιαγαγὼν εἰς τοὐπίσω τὼ χεῖρε τιμῶν τὴν τιάραν ὀρθὴν οὖσαν καὶ τὸ διάδημα.

Jupp. trag. 42. 690: ἄλλοι ἄλλα νομίζουσι, Σκύθαι μὲν ἀκινάκῃ θύοντες καὶ Θρᾷκες Ζαμόλξιδι, δραπέτῃ ἀνθρώπῳ ἐκ Σάμου ὡς αὐτοὺς ἥκοντι, Φρύγες δὲ Μήνῃ καὶ Αἰθίοπες Ἡμέρᾳ καὶ Κυλλήνιοι Φάλητι καὶ Ἀσσύριοι περιστερᾷ καὶ Πέρσαι πυρὶ καὶ Αἰγύπτιοι ὕδατι.

Apuleius

(c. 124 — c. 170 vixit)

apologia (ed. Helm) 25 s.: nam si, quod ego apud plurimos lego, Persarum lingua magus est qui nostra sacerdos, quod tandem est crimen, sacerdotem esse et rite nosse atque scire atque callere leges cerimoniarum, fas sacrorum, ius religionum, si quidem magia id est quod Plato interpretatur, cum commemorat, quibusnam disciplinis puerum regno adulescentem Persae imbuant . . . 26. auditisne magiam, qui eam temere accusatis, artem esse dis immortalibus acceptam, colendi eos ac venerandi pergnaram, piam scilicet et divini scientem, iam inde a Zoroastre et Oromaze auctoribus suis nobilem, caelitum antistitam, quippe qui inter prima regalia docetur, nec ulli temere inter Persas concessum est magum esse, haud magis quam regnare . . . quod si ita est, cur mihi nosse non liceat . . . Zoroastri sacerdotia?

ib. 90: . . . si quamlibet modicum emolumentum

17 Θρᾷκες om. A (Gorlicensis) 28 qui eam] quam Jahn 31 Zoroastro van der Vliet oromazo vulg 32 quippe quia Hildebrand quippe quae Krueger

probaveritis, ego ille sim Carmendas vel Damigeron vel his Moses vel I[oh]annes vel Apollobex vel ipse Dardanus vel quicumque alius post Zoroastren et Hostanen inter magos celebratus est.

flor. (ed. Helm) 15: sunt qui Pythagoran aiant eo temporis inter captivos Cambysae regis, Aegyptum cum advheheretur, doctores habuisse Persarum magos ac praecipue Zoroast⟨r⟩en, omnis divini arc[h]ani antistitem.

Aristides

(sub Antonino Pio scripsit)

apol. (ed. Goodspeed) 3, 2: οἱ . . . Χαλδαῖοι ⟨a Beel (Κρόνου) genus suum trahunt et a Rhea et ab reliquis deis suis⟩ μὴ εἰδότες θεὸν ἐπλανήθησαν ὀπίσω τῶν στοιχείων καὶ ἤρξαντο σέβεσθαι τὴν κτίσιν παρὰ τὸν κτίσαντα αὐτούς· ὧν καὶ μορφώματά τινα ποιήσαντες ὠνόμασαν ἐκτύπωμα τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ τῆς θαλάσσης, ἡλίου τε καὶ σελήνης καὶ τῶν λοιπῶν στοιχείων ἢ φωστήρων, καὶ συγκλείσαντες ναοῖς προσκυνοῦσι θεοὺς καλοῦντες . . .

4, 1 s.: ἔλθωμεν οὖν, ὦ βασιλεῦ, ἐπ' αὐτὰ τὰ στοιχεῖα, ὅπως ἀποδείξωμεν περὶ αὐτῶν ὅτι οὐκ εἰσὶ θεοί, ἀλλὰ φθαρτὰ καὶ ἀλλοιούμενα . . . 2. οἱ νομίζοντες τὸν οὐρανὸν εἶναι θεὸν πλανῶνται . . . 3. οἱ δὲ νομίζοντες τὴν γῆν εἶναι θεὰν ἐπλανήθησαν. ὁρῶμεν γὰρ αὐτὴν ὑπὸ τῶν ἀνθρώπων ὑβριζομένην καὶ κατακυριευομένην . . . καταπατεῖται δὲ ὑπὸ ἀνθρώπων καὶ τῶν λοιπῶν ζῴων, αἵμασι φονευομένων μιαίνεται, διορύσσεται, γεμίζεται νεκρῶν, θήκη γίνεται σωμάτων. 4. ⟨quod fieri non potest ut haec natura sancta et clara et sacra et inmutabilis tale quicquam subeat⟩ . . . 5, 1. οἱ δὲ νομίζοντες τὸ ὕδωρ εἶναι θεὸν ἐπλανήθησαν. καὶ αὐτὸ γὰρ εἰς χρῆσιν τῶν ἀνθρώπων γέγονε καὶ κατακυριεύεται ὑπ' αὐτῶν, μιαί-

1 carm̄daſ φ (Mediceus bibl. Laurentianae 29, 2) Tarmoendas Plin. n. h. XXX (2) 5 Dieterich 2 hiſmeſoſ φ is Moses Jan. Parrhasius hic M. Olearius ⟨Ve⟩lus (sc. Belus) ⟨vel⟩ M. Kr coniect. Meursii secut. Hisus (sc. Jesus) ⟨vel⟩ M. Bosscha Judaeus M.? Helm. post his comparat. intercidisse putat van der Vliet; suppleas ⟨maiores⟩ ioh φ Iannes Colvius apollo h. φ Apollobeches Kr Apollobex He Die alias φ em. vulg 3 hostanen φ 7 ductures φ: ductores 8 zoroasten φ archanū φ em. Vulcan arcanorum Oudendorp 9 Χαλδαῖοι] barbari Syr nationes et barbari Arm 11 ὀπίσω] διὰ S deum S 22 ὁρῶμεν — κατακυριευομένην om. S post καὶ] multifariam add. S αὐτῶν] mutatur enim et add. S

νεται καὶ φθείρεται καὶ ἀλλοιοῦται ἑψούμενον καὶ ἀλλασσόμενον χρώμασι καὶ ὑπὸ τοῦ κρύους πηγνύμενον ⟨et cum stercore hominum et pecorum et sanguine occisorum commixtum et confusum⟩ . . . 3. οἱ δὲ νομίζοντες τὸ πῦρ εἶναι θεὸν πλανῶνται. τὸ γὰρ πῦρ ἐγένετο εἰς χρῆσιν τῶν ἀνθρώπων καὶ κατακυριεύεται ὑπ' αὐτῶν περιφερόμενον ἐκ τόπου εἰς τόπον εἰς ἕψησιν καὶ ὄπτησιν παντοδαπῶν κρεῶν . . . ἔτι δὲ καὶ . . . νεκρῶν σωμάτων . . . 4. οἱ δὲ νομίζοντες τὴν τῶν ἀνέμων πνοὴν εἶναι θεὰν πλανῶνται . . . 6, 1: οἱ δὲ νομίζοντες τὸν ἥλιον εἶναι θεὸν πλανῶνται . . . 3. οἱ δὲ νομίζοντες τὴν σελήνην εἶναι θεὰν πλανῶνται . . . 7, 1. οἱ δὲ νομίζοντες τὸν ἄνθρωπον εἶναι θεὸν πλανῶνται . . . 4. πλάνην οὖν μεγάλην ἐπλανήθησαν οἱ Χαλδαῖοι ὀπίσω τῶν ἐπιθυμημάτων αὐτῶν. σέβονται γὰρ τὰ φθαρτὰ στοιχεῖα καὶ τὰ νεκρὰ ἀγάλματα καὶ οὐκ αἰσθάνονται ταῦτα θεοποιούμενοι.

Pausanias
(143—176 scripsit)

Graec. descr. (ed. Hitzig et Bluemner) III, 16, (6,) 8: διαμεμένηκεν ἔτι καὶ νῦν τηλικοῦτο ὄνομα τῇ Ταυρικῇ θεῷ, ὥστε ἀμφισβητοῦσι μὲν Καππάδοκες οἱ τὸν Εὔξεινον οἰκοῦντες τὸ ἄγαλμα εἶναι παρὰ σφίσιν, ἀμφισβητοῦσι δὲ καὶ Λυδῶν οἷς ἐστὶν Ἀρτέμιδος ἱερὸν Ἀναιίτιδος.

ib. 20, (5,) 4: ταύτην (sc. ἄκραν τοῦ Ταϋγέτου) Ἡλίου καλοῦσιν ἱερὰν καὶ ἄλλα τε αὐτόθι Ἡλίῳ θύουσιν καὶ ἵππους· τὸ δὲ αὐτὸ καὶ Πέρσας οἶδα [θύειν] νομίζοντας.

ib. V, 27, (1 s.) 1 s.: ἐν . . . αὐτοῖς καὶ τὰ ἀνατεθέντα ἐστὶν ὑπὸ τοῦ Μαιναλίου Φόρμιδος, ὃς ἐκ Μαινάλου διαβὰς ἐς Σικελίαν παρὰ Γέλωνα τὸν Δεινομένους καὶ

2 et cum — confusum S καὶ αἵμασι μολυνόμενον καὶ εἰς πάντων τῶν ἀκαθάρτων πλύσιν ἀγόμενον Gr post καὶ multifariam add. S 6 περιφερόμενον — τόπον om S 8 νεκρῶν σωμάτων] ad fabricationem ornamentorum S, add. et ceterorum quae maiestati vestrae cognita sunt 12 οἱ — πλανῶνται] ei vero qui de hominibus antiquis existimaverunt aliquos eorum deos esse, valde erraverunt S 13 πλάνην — θεοποιούμενοι] et igitur, o rex, nos decet errorem barbarorum agnoscere. qui quod de deo vero non quaesiverunt, ab veritate exciderunt et ad desiderium mentis suae ambulaverunt, elementis corruptis et idolis inanimis servientes, et ob errorem suum non agnoscunt quid deus verus sit S 19 Καππάδοκες καὶ οἱ codd edd ante Schubartum-Walzium Καππάδοκες οἱ Schu-Wa Dindorf Καπποδόκαι οἱ Schu 24 θύειν inclus. Hitzig, voluit Schu, probat Kayser

ἐκείνῳ τε αὐτῷ καὶ Ἱέρωνι ὕστερον ἀδελφῷ τοῦ Γέλωνος ἐς τὰς στρατείας ἀποδεικνύμενος λαμπρὰ ἔργα ἐς τοσοῦτο προῆλθεν εὐδαιμονίας ὡς ἀναθεῖναι μὲν ταῦτα ἐς Ὀλυμπίαν, ἀναθεῖναι δὲ καὶ τῷ Ἀπόλλωνι ἄλλα ἐς Δελφούς. 2. τὰ δὲ ἐς Ὀλυμπίαν δύο τέ εἰσιν ἵπποι καὶ ἡνίοχοι δύο, ἑκατέρῳ τῶν ἵππων παρεστὼς ἀνὴρ ἡνίοχος. ὁ μὲν δὴ πρότερος τῶν ἵππων καὶ ὁ ἀνὴρ Διονυσίου τοῦ Ἀργείου, τὰ δεύτερα δὲ ἔργα ἐστὶν Αἰγινήτου Σίμωνος. τῷ προτέρῳ δὲ τῶν ἵππων ἐπίγραμμα ἔπεστιν ἐπὶ τῇ πλευρᾷ, τὰ πρῶτα οὐ σὺν μέτρῳ· λέγει γὰρ δὴ οὕτω·

Φόρμις ἀνέθηκεν
Ἀρκὰς Μαινάλιος, νῦν δὲ Συρακόσιος.

(2.) 3. οὗτός ἐστιν ὁ ἵππος ὅτῳ καὶ τὸ ἱππομανὲς λόγῳ τῷ Ἠλείων ἔγκειται· δῆλα δὲ καὶ ἄλλα ἐστὶν ἀνδρὸς μάγου σοφίᾳ γενέσθαι (καὶ τὰ) συμβαίνοντα τῷ ἵππῳ. μέγεθος μὲν καὶ εἶδος ἵππων ἀποδεῖ πολλῷ, ὅσοι τῆς Ἄλτεως ἐντὸς ἑστήκασι· πρὸς δὲ ἀποκέκοπταί τε τὴν οὐρὰν καὶ ἔστιν ἐπὶ τῷ τοιῷδε ἔτι αἰσχίων. οἱ δὲ ἵπποι οἱ ἄρσενες οὔτι που τοῦ ἦρος μόνον ἀλλὰ καὶ ἀνὰ πᾶσαν ἐπ᾽ αὐτὸν ὀργῶσιν ἡμέραν. 4. καὶ γὰρ ἐσθέουσιν ἐς τὴν Ἄλτιν ἀπορρηγνύοντες τὰ δεσμὰ ἢ καὶ ἐκφεύγοντες τοὺς ἄγοντας, καὶ ἐπιπηδῶσιν αὐτῷ πολλῷ δή τι ἐμμανέστερον ἢ ἐπὶ τὴν καλλίστην ἵππον ζῶσάν τε καὶ ἠθάδα ἀναβαίνεσθαι. ἀπολισθάνουσί τε δὴ αὐτοῖς αἱ ὁπλαί, καὶ ὅμως οὐκ ἀπαγορεύουσι χρεμετίζοντές τε μᾶλλον καὶ ἐπιπηδῶντες μετὰ βιαιοτέρας τῆς ὁρμῆς, πρὶν ἂν ὑπὸ μαστίγων καὶ ἀνάγκης ἰσχυρᾶς ἀφελκυσθῶσι· πρότερον δὲ οὐκ ἔστιν ἀπαλλαγή σφισιν οὐδεμία ἀπὸ τοῦ χαλκοῦ. (3.) 5. καὶ ἄλλο ἐν Λυδίᾳ θεασάμενος οἶδα διάφορον μὲν θαῦμα ἢ κατὰ τὸν ἵππον τὸν Φόρμιδος, μάγων μέντοι σοφίας οὐδὲ αὐτὸ ἀπηλλαγμένον. ἔστι γὰρ Λυδοῖς ἐπίκλησιν Περσικοῖς ἱερὰ ἔν τε Ἱεροκαισαρείᾳ καλουμένῃ πόλει καὶ ἐν Ὑπαίποις, ἐν ἑκα-

14 δηλῶ La (Leidensis), Pa(risinus) add. in marg. δηλοῖ ἄλλα ἐς τιμὴν ἀνδρὸς Pa Vab (Vindobonenses) edd praeter Clavierum Schu.-Wa Di, ἄλλα ἔστι μὴν rell codd, etiam cod. Phralitis, Schu.-Wa Di, hic lacunam indicans post μὴν et γίνεσθαι scribens. Kuhn voluit καὶ ἄλλῳ ἐς τιμὴν aut καὶ ἄλλῳ ἐστὶ σὺν ἀνδρὸς μάγου σοφίᾳ, Facius καὶ ἄλλως τὰ μὴν (vel μὲν) ἀνδρὸς μ. σ., ἄλλως ἔστι μὲν ἀ. Cla, ἄλλως ἐστὶν ἀνδρὸς μ. σοφίᾳ γίνεσθαι τὰ συμβαίνοντα Coraeus, ἄλλα τινὰ ἀνδρ. coni. Siebelis, ἄλλα ἐστὶν ἀνδρὸς Herwerden, κατὰ πλαστικὴν Froehner, ἐστὶν Hi 16 καὶ εἶδος Hi, idem coni. Schu, ἢ εἶδος codd edd, ante ἢ inseri οἱ iubet Pa in marg. πολλῶν edd ante Schu.-Wa codd, πολλῷ rell edd e coni. Cor, quam probant Sie Bekker 20 fuitne pro ἡμέραν potius ὥραν, ut Amasaeum (anni parte) legisse Fa suspicatur?

τέρῳ δὲ τῶν ἱερῶν οἴκημά τε καὶ ἐν τῷ οἰκήματί ἐστιν ἐπὶ βωμοῦ τέφρα· χρόα δὲ οὐ κατὰ τέφραν ἐστὶν αὐτῇ τὴν ἄλλην. 6. ἐσελθὼν δὲ ἐς τὸ οἴκημα ἀνὴρ μάγος καὶ ξύλα ἐπιφορήσας αὖα ἐπὶ τὸν βωμὸν πρῶτα μὲν τιάραν ἐπέθετο ἐπὶ τῇ κέφαλῇ, δεύτερα δε ἐπίκλησιν ὅτου δὴ θεῶν ἐπᾴδει, βάρβαρα καὶ οὐδαμῶς συνετὰ Ἕλλησιν· ἐπᾴδει δὲ ἐπιλεγόμενος ἐκ βιβλίου. ἄνευ τε δὴ πυρὸς ἀνάγκη πᾶσα ἁφθῆναι τὰ ξύλα καὶ περιφανῆ φλόγα ἐξ αὐτῶν ἐκλάμψαι. τάδε μὲν ἐς τοσοῦτο ἡμῖν δεληλώσθω.

ib. VII, 6, (4,) 6: τοῦ . . . Ἀδράστου τούτου χαλκῆν εἰκόνα ἀνέθεσαν οἱ Λυδοὶ πρὸ ἱεροῦ Περσικῆς Ἀρτέμιδος κτλ.

Nikomachus Gerasaeus
(c. 150 floruit)

theologumena arithmetica (ed. Ast) 7: ἐκ τοῦ δευτέρου βιβλίου τῆς ἀριθμητικῆς τοῦ Γερασηνοῦ Νικομάχου· . . . καὶ Βαβυλωνίων οἱ δοκιμώτατοι καὶ Ὀστάνης καὶ Ζωροάστρης ἀγέλας κυρίως καλοῦσι τὰς ἀστρικὰς σφαίρας, ἤτοι παρ' ὅσον τελείως ἄγονται περὶ τὸ κέντρον μόναι παρὰ τὰ σωματικὰ μεγέθη· ἢ ἀπὸ τοῦ σύνδεσμοί πως καὶ συναγωγαὶ χρηματίζειν δογματίζεσθαι παρ' αὐτῶν τῶν φυσικῶν λόγων, ἃς ἀγέλους κατὰ τὰ αὐτὰ καλοῦσιν ἐν τοῖς ἱεροῖς λόγοις, κατὰ παρέμπτωσιν δὲ τοῦ γάμμα ἐφθαρμένως ἀγγέλους· διὸ καὶ τοὺς καθ' ἑκάστην τούτων τῶν ἀγγέλων ἐξάρχοντας ἀστέρας καὶ δαίμονας ὁμοίως ἀγγέλους καὶ ἀρχαγγέλους προσαγορεύεσθαι, οἵπερ εἰσίν ἑπτὰ τὸν ἀριθμόν.

Appianus
(c. 160 scripsit)

Mithridat. (ed. Mendelssohn) 66: (ὁ Μιθριδάτης) ἔθυε τῷ στρατίῳ Διὶ πάτριον θυσίαν ἐπὶ ὄρους ὑψηλοῦ, κορυφὴν μείζονα ἄλλην ἀπὸ ξύλων ἐπιτιθείς. πρῶτοι δ' ἐς αὐτὴν οἱ βασιλεῖς ξυλοφοροῦσι, καὶ περιθέντες ἑτέραν ἐν κύκλῳ βραχυτέραν τῇ μὲν ἄνω γάλα καὶ μέλι καὶ οἶνον καὶ ἔλαιον καὶ θυμιάματα πάντα ἐπιφοροῦσι, τῇ δ' ἐπιπέδῳ σῖτόν τε καὶ ὄψον ἐς ἄριστον τοῖς παροῦσιν ἐπιτιθέντες, οἷόν τε καὶ ἐν Πασαργάδαις ἐστὶ τοῖς Περσῶν βασιλεῦσι

4 ἐπὶ τῶν ὤμων Pd (Parisinus) 15 ὁ Στάνης Parisinus 17 περιόντι κέντρον μοναί Par 28 ⟨sic enim sacra instituunt⟩ Primi Candidi translatio αὐτὴν A (Monacensis 374) B (Marcianus 387) V(aticanus 134) EF (Parisini 1642. 1672) L(eidensis) αὐτόν ab (Parisini 1681. 1682) d (Vratislaviensis) f (Laurentianus LXX, 33) 31 ἐπιθέντες? Mendelssohn 32 ἐστὶ] ἦν? Me

θυσίας γένος, ἅπτουσι τὴν ὕλην. ἡ δ' αἰθομένη διὰ τὸ μέγεθος τηλοῦ τε χιλίων σταδίων γίγνεται τοῖς πλέουσι καταφανής, καὶ πελάσαι φασὶν ἐς πολλὰς ἡμέρας, αἰθομένου τοῦ ἀέρος, οὐ δυνατὸν εἶναι.

ib. 70: ἀρχομένου . . . ἦρος ἀπόπειραν τοῦ ναυτικοῦ ποιησάμενος, ἔθυε τῷ στρατίῳ Διὶ τὴν συνήθη θυσίαν, καὶ Ποσειδῶνι λευκῶν ἵππων ἅρμα καθεὶς ἐς τὸ πέλαγος ἐπὶ Παφλαγονίας ἠπείγετο.

Iunianus Iustinus

(inter 160 et 300 scripsit)

epit. hist. Philipp. Pomp. Trog. (ed. Ruehl) I, 1, 9: postremum bellum illi (sc. Nino) fuit cum Zoroastre, rege Bactrianorum, qui primus dicitur artes magicas invenisse et mundi principia siderumque motus diligentissime spectasse.

ib. 9, 11: apud Persas persona regis sub specie maiestatis occulitur.

ib. 10, 5: et solem Persae unum deum esse credunt et equos eidem deo sacratos ferunt.

ib. VI, 2, 12 s.: Conon diu rege per epistulas frustra fatigato ad postremum ipse ad eum pergit, a cuius aspectu et conloquio prohibitus est, quod eum more Persarum adorare noluit.

ib. XI, 15, 10: (Dareus:) Alexandro referre se, quam solam moriens potest, gratiam, precari superum inferumque numina et regales deos, ut illi terrarum omnium victori contingat imperium.

ib. 15: (Alexander) corpus . . . regio more sepeliri et reliquias eius maiorum tumulis inferri iussit.

ib. XII, 7, 1: dein, quod primo distulerat, ne omnia pariter invidiosiora essent, ex Persico superbiae regiae more non salutari, sed adorari se iubet (sc. Alexander).

ib. XIX, 1, 10 s.: dum haec aguntur, legati a Dareo,

2 τηλοῦ ἐκ χιλ. malebat Schweighaeuser praeter necessitatem 21 noluit Madvig nolit I (= E[usebianus]) F [Laurentianus 66, 20] S[essorianus 17] L [Vossianus L. Q. 101]) A (Parisinus 4950) R (Franequeranus 24) H (Sancti Galli) G(issensis) nollet A² V(ossianus L. Q. 32) Q (Ashburnhamensis L. 29) II (= Petropolitanus 422, Palatino-Vaticanus 927, P [Mus. Brit. Add. 19, 906] Harleianus 4822) 29 ex — more post essent posuit Ruehl, post primo I T (=AHGMK [Monacenses] VQR) II, post dein Eussner

Persarum rege, Karthaginem venerunt adferentes edictum, quo Poeni humanas hostias immolare et canina vesci prohibebantur 11. mortuorumque corpora cremare potius quam terra obruere a rege iubebantur.

ib. XLI, 3, 1: uxores dulcedine variae libidinis singuli plures habent, nec ulla delicta adulteriis gravius vindicant.

ib. 3, 5 s.: sepultura vulgo aut avium aut canum laniatus est; nuda demum ossa terra obruunt. 6. in superstitionibus ac cura deorum praecipua omnibus veneratio est.

ib. 3, 10: in libidinem proiecti, in cibum parci. fides dicti promissique nulla, nisi quatenus expedit.

Polyaenus

(162 scripsit)

strategem. (ed. Melber) VII, 11, 7: Δαρεῖος Αἰγυπτίων οὐ φερόντων Ἀρυάνδου τοῦ σατράπου τὴν ὠμότητα καὶ διὰ τοῦτο ἀποστάντων αὐτὸς διὰ τῆς ἐρήμης Ἀραβίας ὁδεύσας ἧκεν εἰς Μέμφιν. ἔτυχον δὲ Αἰγύπτιοι τὸν Ἆπιν ἀφανῆ γεγονότα κατ' ἐκείνας τὰς ἡμέρας πενθοῦντες. Δαρεῖος προέγραψε τῷ ἀγαγόντι τὸν Ἆπιν δώσειν ἑκατὸν τάλαντα χρυσίου, οἱ δὲ τὴν εὐσέβειαν αὐτοῦ θαυμάσαντες οὐκέτι μετὰ τῶν ἀποστάντων ἐτράποντο, ἀλλὰ σφᾶς αὐτοὺς Δαρείῳ παρέδωκαν.

Tatianus

(c. 170 scripsit)

or. ad Gr. (ed. Goodspeed) 1, 1: Τελμησσέων . . . οἱ δοκιμώτατοι τὴν δι' ὀνείρων ἐξεῦρον μαντικήν . . . μαγεύειν Πέρσαι.

ib. 28: νομίζουσιν . . . Ἕλληνες φευκτὸν εἶναι τὸ συγγενέσθαι μητρί, κάλλιστον δὲ τὸ τοιοῦτόν ἐστιν ἐπιτήδευμα παρὰ τοῖς Περσῶν μάγοις.

3 terra potius obruere quam cremare Kirchmann cremare quae potius terra obruere Gronov cremare potiusque terra obruere van Nispen cremare quae terra obruere Heindrich
10 ac cura Ruehl ac tura C ad curam I atque cura TP
14 Ἀρυάνδου Heringa ex Herodoto, et sic 7, 34. 8, 47; Ὀρυάνδρου F(lorentinus), quod probat Gutschmid 19 θαυμάσαντες F μαθόντες M(onacensis)

Maximus Tyrius

(sub Commodo scripsit)

philosoph. (ed. Hobein) II, 4: τὸ . . . βαρβαρικόν, ὁμοίως μὲν ἅπαντες ξυνετοὶ τοῦ θεοῦ, κατεστήσαντο δὲ αὐτοῖς σημεῖα ἄλλοι ἄλλα. Πέρσαι μὲν πῦρ, ἄγαλμα ἐφήμερον, ἀκόρεστον καὶ ἀδηφάγον· καὶ θύουσιν Πέρσαι πυρί, ἐπιφοροῦντες αὐτῷ τὴν πυρὸς τροφήν, ἐπιλέγοντες· πῦρ δέσποτα, ἔσθιε.

Celsus

(c. 178 scripsit)

apud Orig., c. Cels. (ed. Koetschau) V, 41. 609: φησὶν . . . (Κέλσος)· . . . Ἰουδαῖοι . . . οὐδὲ τὸ περὶ οὐρανοῦ δόγμα ἴδιον λέγουσιν ἀλλ', ἵνα πάντα ἐάσω, καὶ Πέρσαις, ὥς που δηλοῖ καὶ Ἡρόδοτος, πάλαι δεδογμένον.

ib. VII, 62. 738: οὐκ ἀνέχονται νεὼς ὁρῶντες καὶ βωμοὺς καὶ ἀγάλματα . . . ὅτι . . . Πέρσαι οὕτως νομίζουσιν, Ἡρόδοτος ἐν τοῖσδε ἱστορεῖ· (vid. Herod. I, 131, supra p. 5) . . . εἰ . . . ὅτι μηδὲ θείας εἰκόνας ὑποληπτέον, ἄλλην γὰρ εἶναι θεοῦ μορφήν, ὥσπερ καὶ Πέρσαις δοκεῖ· λελήθασιν αὐτοὶ σφᾶς αὐτοὺς ἐλέγχοντες, ὅταν φῶσιν ὅτι „ὁ θεὸς ἐποίησε τὸν ἄνθρωπον“ ἰδίαν „εἰκόνα“ τὸ δὲ εἶδος ὅμοιον ἑαυτῷ.

vid. etiam sub Origene.

Athenaeus

(post 193 scripsit)

dipnosoph. (ed. Kaibel) V, 63. 220c: Ἀντισθένης . . . ἐν θατέρῳ τῶν Κύρων κακολογῶν Ἀλκιβιάδην καὶ παράνομον εἶναι λέγει καὶ εἰς γυναῖκας καὶ εἰς τὴν ἄλλην δίαιταν. συνεῖναι γάρ φησιν αὐτὸν καὶ μητρὶ καὶ θυγατρὶ καὶ ἀδελφῇ ὡς Πέρσας.

ib. X, 45. 434d: Δαρεῖος . . . ὁ τοὺς μάγους ἀνελὼν ἐπιγεγραμμένον εἶχεν ἐπὶ τοῦ μνήματος· ἠδυνάμην καὶ οἶνον πίνειν πολὺν καὶ τοῦτον φέρειν καλῶς. Κτησίας δὲ παρ' Ἰνδοῖς φησιν οὐκ εἶναι τῷ βασιλεῖ μεθυσθῆναι· παρὰ δὲ Πέρσαις τῷ βασιλεῖ ἐφίεται μεθύσκεσθαι μιᾷ ἡμέρᾳ, ἐν ᾗ θύουσι τῷ Μίθρῃ.

ib. XII, 9. 515a: Ἀγαθοκλῆς . . . ἐν τρίτῳ περὶ

4 ἀδδηφάγον M(onacensis 67) B(ernensis 662) ἀδηφάγον a (cod Arlenii?) 12 νομίζουσιν Bouhéreau Delarue ὀνομάζουσιν A (Vaticanus 386) Hoeschel Spencer

Κυζίκου ἐν Πέρσαις φησὶν εἶναι καὶ ⟨τὸ⟩ χρυσοῦν καλούμενον ὕδωρ. εἶναι δὲ τοῦτο λιβάδας ἑβδομήκοντα, καὶ μηδένα πίνειν ἀπ' αὐτοῦ ἢ μόνον βασιλέα καὶ τὸν πρεσβύτατον αὐτοῦ τῶν παίδων· τῶν δ' ἄλλων ἐάν τις πίῃ, θάνατος ἡ ζημία.

ib. XIII, 3. 556 b: παρὰ . . . Πέρσαις ἀνέχεται ἡ βασίλεια τοῦ πλήθους τῶν παλλακίδων διὰ τὸ ὡς δεσπότην ἄρχειν τῆς γαμετῆς τὸν βασιλέα, ἔτι δὲ καὶ διὰ τὸ τὴν βασιλίδα, ὥς φησι Δίνων ἐν τοῖς Περσικοῖς, ὑπὸ τῶν παλλακίδων θρησκεύεσθαι. προσκυνοῦσι γοῦν αὐτήν.

ib. XIV, 44. 639 c: Βήρωσος . . . ἐν πρώτῳ Βαβυλωνιακῶν τῷ Λώῳ φησὶ μηνὶ ἑκκαιδεκάτῃ ἄγεσθαι ἑορτὴν Σάκαια προσαγορευομένην ἐν Βαβυλῶνι ἐπὶ ἡμέρας πέντε, ἐν αἷς ἔθος εἶναι ἄρχεσθαι τοὺς δεσπότας ὑπὸ τῶν οἰκετῶν ἀφηγεῖσθαί τε τῆς οἰκίας ἕνα αὐτῶν ἐνδεδυκότα στολὴν ὁμοίαν τῇ βασιλικῇ, ὃν καὶ καλεῖσθαι Ζωγάνην. μνημονεύει τῆς ἑορτῆς καὶ Κτησίας ἐν δευτέρῳ Περσικῶν.

Clemens Alexandrinus

(c. 150 — post 211 vixit)

(ed. Stählin) protr. 4. 52, 6: εἰ Καμβύσης τις ἢ Δαρεῖος ἢ ἄλλος μαινόμενος τοιαῦτα ἄττα ἐπεχείρησεν καὶ εἰ τὸν Αἰγύπτιόν τις ἀπέκτεινεν Ἆπιν, γελῶ μὲν ὅτι τὸν θεὸν ἀπέκτεινεν αὐτῶν, ἀγανακτῶ δὲ εἰ κέρδους χάριν ἐπλημμέλει.

ib. 5. 65, 1: Περσῶν . . . οἱ μάγοι τὸ πῦρ τετιμήκασι καὶ τῶν τὴν Ἀσίαν κατοικούντων πολλοί, πρὸς δὲ καὶ Μακεδόνες, ὥς φησι Διογένης ἐν α' Περσικῶν. τί μοι Σαυρομάτας καταλέγειν, οὓς Νυμφόδωρος ἐν Νομίμοις βαρβαρικοῖς τὸ πῦρ σέβειν ἱστορεῖ, ἢ τοὺς Πέρσας καὶ τοὺς Μήδους καὶ τοὺς μάγους; θύειν ἐν ὑπαίθρῳ τούτους ὁ Δίνων λέγει, θεῶν ἀγάλματα μόνα τὸ πῦρ καὶ ὕδωρ νομίζοντας.

ib. 3: μετὰ πολλὰς μέντοι ὕστερον περιόδους ἐτῶν ἀνθρωποειδῆ ἀγάλματα σέβειν αὐτοὺς Βήρωσσος ἐν τρίτῃ Χαλδαϊκῶν παρίστησι, τοῦτο Ἀρταξέρξου τοῦ Δαρείου τοῦ Ὤχου εἰσηγησαμένου, ὃς πρῶτος τῆς Ἀφροδίτης Ἀναΐτιδος τὸ ἄγαλμα ἀναστήσας ἐν Βαβυλῶνι καὶ Σούσοις καὶ Ἐκβατάνοις Πέρσαις καὶ Βάκτροις καὶ Δαμασκῷ καὶ Σάρδεσιν ὑπέδειξε σέβειν.

11 ἐν τρίτῳ Mueller 13 σακέαν A (Marcianus) E (Laurentianus) corr. Casaubonus 16 ζογάνην E 20 γελῶμεν P(arisinus 451) 21 ἀπέκτεινεν P* ἀπέκτειναν P corr. 33 Ἀναΐτιδος Bochart ταναΐδος P

paedag. I, 7. 55, 1: οὐκ ἔλαθον ἡμᾶς οἱ παρὰ Πέρσαις βασίλειοι καλούμενοι παιδαγωγοί, οὓς τέτταρας τὸν ἀριθμὸν ἀριστίνδην ἐκλέγοντες ἐκ πάντων Περσῶν οἱ βασιλεῖς Περσῶν τοῖς σφῶν αὐτῶν ἐφίστων παισίν· ἀλλὰ τοξεύειν μόνον οἱ παῖδες αὐτοῖς μανθάνουσιν, ἡβήσαντες δὲ ἀδελφαῖς καὶ μητράσιν καὶ γυναιξὶν γαμεταῖς τε ἅμα καὶ παλλακίσιν ἀναρίθμοις ἐπιμίσγονται, καθάπερ οἱ κάπροι εἰς συνουσίαν ἠσκημένοι.

strom. I, 15. 69, 6: (Δημόκριτος) ἐπῆλθε . . . Βαβυλῶνά τε καὶ Περσίδα καὶ Αἴγυπτον τοῖς τε Μάγοις καὶ τοῖς ἱερεῦσι μαθητεύων. Ζωροάστρην δὲ τὸν Μάγον τὸν Πέρσην ὁ Πυθαγόρας ἐζήλωσεν, ⟨καὶ⟩ βίβλους ἀποκρύφους τἀνδρὸς τοῦδε οἱ τὴν Προδίκου μετιόντες αἵρεσιν αὐχοῦσι κεκτῆσθαι. 70, 1. Ἀλέξανδρος δὲ ἐν τῷ περὶ Πυθαγορικῶν συμβόλων Ζαράτῳ τῷ Ἀσσυρίῳ μαθητεῦσαι ἱστορεῖ τὸν Πυθαγόραν.

ib. 21. 133, 2: προγνώσει . . . καὶ Πυθαγόρας ὁ μάγος προσανεῖχεν ἀεὶ Ἄβαρίς τε ὁ Ὑπερβόρειος καὶ Ἀριστέας ὁ Προκοννήσιος Ἐπιμενίδης τε ὁ Κρής, ὅστις εἰς Σπάρτην ἀφίκετο, καὶ Ζωροάστρης ὁ Μῆδος κτλ.

ib. III, 6. 48, 3: ἀμέλει διὰ φροντίδος ἐστὶ καὶ τοῖς Μάγοις οἴνου τε ὁμοῦ καὶ ἐμψύχων καὶ ἀφροδισίων ἀπέχεσθαι λατρεύουσιν ἀγγέλοις καὶ δαίμοσιν.

ib. V, 14. 103, 2 s.: ὁ . . . αὐτὸς (sc. Πλάτων) ἐν τῷ δεκάτῳ τῆς Πολιτείας Ἠρὸς τοῦ Ἀρμενίου, τὸ γένος Παμφύλου, μέμνηται, ὅς ἐστι Ζωροάστρης. 3. αὐτὸς γοῦν ὁ Ζωροάστρης γράφει· „τάδε συνέγραψα Ζωροάστρης ὁ Ἀρμενίου, τὸ γένος Πάμφυλος, ἐν πολέμῳ τελευτήσας, ⟨ὅσα⟩ ἐν Ἅιδῃ γενόμενος ἐδάην παρὰ θεῶν". 4. τὸν δὴ Ζωροάστρην τοῦτον ὁ Πλάτων δωδεκαταῖον ἐπὶ τῇ πυρᾷ κείμενον ἀναβιῶναι λέγει· τάχα μὲν οὖν τὴν ἀνάστασιν, τάχα δὲ ἐκεῖνα αἰνίσσεται, ὡς διὰ τῶν δώδεκα ζῳδίων ἡ ὁδὸς ταῖς ψυχαῖς γίνεται εἰς τὴν ἀνάληψιν, αὐτὸς δὲ καὶ εἰς τὴν γένεσίν φησι τὴν αὐτὴν γίγνεσθαι κάθοδον. 5. ταύτῃ ὑποληπτέον καὶ τὰ τοῦ Ἡρακλέους ἆθλα γενέσθαι δώδεκα, μεθ' ἃ τῆς ἀπαλλαγῆς παντὸς τοῦ κόσμου τοῦδε τυγχάνει ἡ ψυχή.

9 ἐζήλωσεν Cyr. Alex. ἐδήλωσεν L(aurentianus V, 3) 12 καὶ add. Cyr. 15 Ζαράτῳ Huet ναζαρατωι L Ζάρᾳ Cyr. Ζαράτᾳ Hullemann Zeller 26.30 Ζοροάστρης — Ζοροάστρην L Ζωρόαστρις — Ζωρόαστριν Euseb. 26 συνέγραψα Cobet συνέγραψεν L Eus. 29 ὅσα add. Eus. 31 οὖν — τάχα δὲ] οὐ — ἀλλ' Eus. 34 ταῦτα Eus. 35 λέγεσθαι Eus.

Bardesanes
(154—c. 223 vixit)

apud Euseb., praep. ev. (ed. Gaisford) VI, 10, 16. 275 cd: (Βαρδησάνης·) παρὰ Πέρσαις νόμος ἦν γαμεῖν τὰς θυγατέρας καὶ τὰς ἀδελφὰς καὶ τὰς μητέρας· καὶ οὐ μόνον ἐν τῇ χώρᾳ ἐκείνῃ καὶ ἐν ἐκείνῳ τῷ κλίματι τούτους τοὺς ἀνοσίους γάμους οἱ Πέρσαι ἐποίησαν, ἀλλὰ καὶ ὅσοι αὐτῶν τῆς Περσίδος ἐξεδήμησαν, οἵτινες καλοῦνται Μαγουσαῖοι, τὴν αὐτὴν ἀθεμιστίαν διαπράττονται, παραδιδόντες τοὺς αὐτοὺς νόμους καὶ τὰ ἔθη τοῖς τέκνοις κατὰ διαδοχήν. ἐξ ὧν εἰσὶ μέχρι νῦν πολλοὶ ἐν Μηδίᾳ, καὶ ἐν Αἰγύπτῳ, καὶ ἐν Φρυγίᾳ, καὶ ἐν Γαλατίᾳ.

Dio Cassius
(c. 155—c. 235 vixit)

hist. Rom. (ed. Melber) XXXVI, 48, 1 s.: ὁ . . . Μιθριδάτης, ἐπειδὴ . . . τὴν Ἀναῖτιν χώραν τῆς τε Ἀρμενίας οὖσαν καὶ θεῷ τινι ἐπωνύμῳ ἀνακειμένην διά τινων ἐχειρώσατο, 2. . . . ἐφοβήθη κτλ.

ib. 53, 5: ὁ . . . γέρων τοὺς θησαυροὺς παρέλαβε, καὶ αὐτὸς ἔν τε τῇ χώρᾳ τῇ Ἀναΐτιδι καὶ πρὸς τῷ ποταμῷ τῷ Κύρνῳ τριχῇ νείμας τὸν στρατὸν παρεχείμασε.

ib. (ed. Dindorf) LXIII, 5, 1 s.: Τιριδάτης . . . εἶπε . . . οὕτως· „. . . ἦλθον . . . πρὸς σὲ τὸν ἐμὸν θεόν, προσκυνήσων σε ὡς καὶ τὸν Μίθραν, καὶ ἔσομαι τοῦτο ὅ τι ἂν σὺ ἐπικλώσῃς· σὺ γάρ μοι καὶ μοῖρα εἶ καὶ τύχη“.

ib. 7, 2: Οὐολόγαισος οὔτε ἐλθεῖν πρὸς τὸν Νέρωνα, καίτοι πολλάκις μεταπεμφθείς, ἠθέλησε, καὶ τέλος, ὡς ὀχληρὸς αὐτῷ ἐγίνετο, ἀντεπέστειλέν οἱ, ὅτι, ‘πολύ σοι ῥᾷον ἢ ἐμοί ἐστι, τοσαύτην θάλασσαν πλεῦσαι’.

Tertullianus
(sub Septimio Severo et Caracalla floruit)

apol. (ed. Oehler) 9: Persas cum suis matribus misceri Ctesias refert.

ib. 16: ad Persas, si forte deputabimur, licet solem

3 καὶ τὰς ἀδελφὰς om. Viger sed ea verba habet ed. Steph. et ni fallor mss. omnes Gaisford 7 μαγουναῖοι C (Parisinus 466) F(lorentinus plut. VI, 6) G (Florentinus plut. VI, 9) 12 ἐπειδὴ ⟨Πομπήιος⟩ Reiske Ἀναῖτιν χώραν Fabricius μανάϊτιν χ. Ma (Mediceus plut. 70, 8), quod ex μὲν Ἀναῖτιν contractum esse putat Rei 16 Ἀναΐτιδι Fa ταναΐτιδι Ma Xiphilinus

non in linteo depictum adoremus, habentes ipsum ubique in suo clypeo.

ad nat. (ed. Reifferscheid et Wissowa) I, 16: plane Persae, Ctesias edit, tam scientes quam non horrentes cum matribus libere faciunt.

adv. Marc. (ed. Kroymann) I, 13: ut . . . aliquid et de isto huius mundi indigno loquar . . . indignas videlicet substantias ipsi illi sapientiae professores, de quorum ingeniis omnis haeresis animatur, deos pronuntiaverunt, . . . cum de mundo . . . ut plerique physicorum formidaverint, [initium ac finem mundo constare] ne substantiae eius, tantae scilicet, minus dei haberentur, quas colunt et Persarum magi et Aegyptiorum hierophantae et Indorum gymnosophistae.

Sextus Empiricus

(saec. 2. exeunte floruit)

Pyrrh. hypot. (ed. Mutschmann) I, 152: τὸ ἔθος . . . τοῖς ἄλλοις ἀντιτίθεμεν, οἷον νόμῳ μέν, ὅταν λέγωμεν . . . παρ' ἡμῖν μὲν ἀπηγορεῦσθαι μητράσι μίγνυσθαι, παρὰ δὲ τοῖς Πέρσαις ἔθος εἶναι μάλιστα οὕτω γαμεῖν.

ib. III, 205: Πέρσαι . . ., καὶ μάλιστα αὐτῶν οἱ σοφίαν ἀσκεῖν δοκοῦντες, οἱ Μάγοι, γαμοῦσι τὰς μητέρας.

ib. 228: Πέρσας . . . φασὶν ἀνασκολοπίζειν τοὺς ἀποθανόντας καὶ νίτρῳ ταριχεύειν, εἶθ' οὕτω τελαμῶσι συνειλεῖν.

Numenius

(eodem tempore floruit)

apud Euseb., praep. ev. (ed. Gaisford) IX, 7, 1. 411 bc: αὐτοῦ . . . τοῦ Πυθαγορικοῦ φιλοσόφου, τοῦ Νουμηνίου λέγω, ἀπὸ τοῦ πρώτου Περὶ τἀγαθοῦ τάδε παραθήσομαι· εἰς δὲ τοῦτο δεήσει εἰπόντα, καὶ σημηνάμενον ταῖς μαρτυρίας ταῖς Πλάτωνος, ἀναχωρήσασθαι καὶ ξυνδήσασθαι τοῖς λόγοις τοῦ Πυθαγόρου· ἐπικαλέσασθαι δὲ τὰ ἔθνη τὰ εὐδοκιμοῦντα, προσφερόμενον αὐτῶν τὰς τελετάς,

1 utique Rigaltius 4 non om. A (Parisinus 1622) faciunt Wissowa fuint A vivunt Oehler 11 initium — constare secl. Kroymann constare M(ontepessulanus) Beatus Rhenanus stare F(lorentinus Magliabechianus Conv. soppr. VI, 10) dare Rig N (Florentinus Magliabechianus Conv. soppr. VI, 9) constituere van der Vliet 20 ἀσκοῦντες δοκεῖν L(aurentianus 85, 11) 27 εἰ δὲ B (Parisinus 465)

καὶ τὰ δόγματα, τάς τε ἱδρύσεις συντελουμένας Πλάτωνι ὁμολογουμένως, ὁπόσας Βραχμᾶνες καὶ Ἰουδαῖοι καὶ Μάγοι καὶ Αἰγύπτιοι διέθεντο.

Pseudo-Callisthenes

(c. 200 scripsit)

(ed. Mueller apud Duebnerum, Arriani anabasis et Indica) I, 36: βασιλεὺς βασιλέων καὶ θεῶν συγγενής, σύνθρονός τε θεῷ Μίθρᾳ καὶ συνανατέλλων τῷ ἡλίῳ ἐγὼ αὐτὸς θεὸς Δαρεῖος Ἀλεξάνδρῳ τῷ ἐμῷ θεράποντι τάδε προστάττω καὶ κελεύω σοι.

ib. 38: βασιλεὺς Ἀλέξανδρος υἱὸς βασιλέως Φιλίππου καὶ μητρὸς Ὀλυμπιάδος βασιλεῖ βασιλέων καὶ συνθρόνῳ θεῶν καὶ συνανατέλλοντι τῷ ἡλίῳ, μεγάλῳ Περσῶν βασιλεῖ χαίρειν. αἰσχρόν ἐστι τηλικοῦτον βασιλέα Περσῶν Δαρεῖον καὶ τηλικαύτῃ δυνάμει ἐπαιρόμενον, ὄντα δὲ καὶ σύνθρονον θεῶν καὶ συνανατέλλοντα τῷ ἡλίῳ, ὑπὸ ταπεινὴν δουλείαν πεσεῖν ἀνθρώπῳ τινί ποτε Ἀλεξάνδρῳ.

ib. 39: θεῷ μεγάλῳ βασιλεῖ Δαρείῳ χαίρειν . . . βασιλεὺς βασιλέων, μέγας θεὸς Δαρεῖος, πᾶσι τοῖς σατράπαις καὶ στρατηγοῖς χαίρειν.

ib. II, 14: συναθροίσας . . . Ἀλέξανδρος τὴν θεωρίαν τὴν ξένην πάντως, παρ' ὀλίγον προσεκύνησεν αὐτὸν Δαρεῖον, θεὸν νομίσας αὐτὸν εἶναι ἐξ Ὀλύμποις κατελθόντα, ταῖς βαρβάρων στολαῖς κεκοσμῆσθαι.

ib. 18: παραπλήσιον . . . ἐθεάσατο καὶ τὸν Κύρου τάφον· ἦν δὲ πύργος αἴθριος δωδεκάστεγος, ἐν δὲ τῇ ἄνω στέγῃ ἔκειτο αὐτὸς ἐν χρυσῇ πυέλῃ, καὶ ὕελος περιεκέχυτο αὐτῷ, ὥστε τὸ τρίχωμα αὐτοῦ φαίνεσθαι καὶ αὐτὸν δὲ ὅλον διὰ τοῦ ὑέλου.

ib. III, 34: οἱ . . . Πέρσαι μάχονται μετὰ τῶν Μακεδόνων βουλόμενοι τὸν Ἀλέξανδρον ἀνακομίσασθαι καὶ Μίθραν ἀναγορεῦσαν· οἱ δὲ Μακεδόνες ἀντεποιοῦντο βουλόλόμενοι ἀναλαβεῖν αὐτὸν εἰς Μακεδονίαν.

1 ἰδέας B 5 σύνθρονός τε θεῷ Μίθρᾳ A (Parisinus 1711) 11 καὶ — ἡλίῳ om. A 21 Cumont: Le texte de B (Parisinus 1685) C (Parisinus Suppl. 113) est ici très différent de celui de A. Au lieu de ὡς — καθελθόντα, on lit notamment θεὸν νομίσας εἶναι αὐτὸν ἐξ Ὀλύμπου κατελθόντα. 29 Μίθραν AB ἡμίθεον C

Aelianus
(c. 175—c. 235 vixit)

(ed. Hercher) var. hist. I, 22: δῶρα τὰ ἐκ βασιλέως (τῶν Περσῶν) διδόμενα τοῖς παρ' αὐτὸν ἥκουσι πρεσβευταῖς, εἴτε παρὰ τῶν Ἑλλήνων ἀφίκοιντο εἴτε ἑτέρωθεν, ταῦτ' ἦν.

ib. 31: νόμος οὗτος Περσικὸς ἐν τοῖς μάλιστα ὑπ' αὐτῶν φυλαττόμενος. ὅταν ἐς Πέρσας ἐλαύνῃ βασιλεύς, πάντες αὐτῷ Πέρσαι κατὰ τὴν ἑαυτοῦ δύναμιν ἕκαστος προσκομίζουσιν. ἅτε δὲ ὄντες ἐν γεωργίᾳ καὶ περὶ γῆν πονούμενοι καὶ αὐτουργοὶ πεφυκότες οὐδὲν τῶν ὑβρισμένων οὐδὲ τῶν ἄγαν πολυτελῶν προσφέρουσιν, ἀλλ' ἢ βοῦς ἢ οἶς, οἳ δὲ σῖτον, καὶ οἶνον ἄλλοι. παρεξιόντι δ' αὐτῷ καὶ παρελαύνοντι ταῦτα ὑπ' ἑκάστου πρόκειται, καὶ ὀνομάζεται δῶρα καὶ δοκεῖ τούτῳ. οἱ δὲ ἔτι τούτων ἐνδεέστεροι τὸν βίον καὶ γάλα καὶ φοίνικας αὐτῷ καὶ τυρὸν προσφέρουσι καὶ τρωκτὰ ὡραῖα καὶ τὰς ἄλλας ἀπαρχὰς τῶν ἐπιχωρίων.

ib. 32: Ἀρταξέρξης . . . φησὶν . . . „ὕδωρ ἐστὶ τὸ πάντων ἄριστον".

ib. 33: ῥοιὰν ἐπὶ λίκνου μεγίστην Ὠμίσης Ἀρταξέρξῃ τῷ βασιλεῖ ἐλαύνοντι τὴν Περσίδα προσεκόμισε. τὸ μέγεθος οὖν αὐτῆς ὑπερεκπλαγεὶς ὁ βασιλεὺς . . . δῶρα αὐτῷ βασιλικὰ ἔπεμψε καὶ ἐπεῖπε· „νὴ τὸν Μίθραν, ἀνὴρ οὗτος ἐκ τῆς ἐπιμελείας ταύτης δυνήσεται καὶ πόλιν κατά γε τὴν ἐμὴν κρίσιν ἐκ μικρᾶς μεγάλην ποιῆσαι".

ib. II, 14: γελοῖος ἐκεῖνος ὁ Ξέρξης ἦν εἴ γε θαλάττης μὲν καὶ γῆς κατεφρόνει τῆς Διὸς τέχνης, ἑαυτῷ δὲ εἰργάζετο καινὰς ὁδοὺς καὶ πλοῦν ἀήθη, ἐδεδούλωτο δὲ πλατάνῳ καὶ ἐθαύμαζε τὸ δένδρον. ἐν Λυδίᾳ γοῦν φασιν ἰδὼν φυτὸν εὐμέγεθες πλατάνου, τὴν ἡμέραν ἐκείνην κατέμεινεν οὐδέν τι δεόμενος, καὶ ἐχρήσατο σταθμῷ τῇ ἐρημίᾳ τῇ περὶ τὴν πλάτανον. ἀλλὰ καὶ ἐξῆψεν αὐτῆς κόσμον πολυτελῆ, στρεπτοῖς καὶ ψελίοις τιμῶν τοὺς κλάδους, καὶ μελεδωνὸν αὐτῇ κατέλιπεν, ὥσπερ ἐρωμένῃ φύλακα καὶ φρουρόν.

ib. 17: ἡ τῶν ἐν Πέρσαις μάγων σοφία τά τε ἄλλα οἶδεν ὁπόσα αὐτοῖς εἰδέναι θέμις, καὶ οὖν καὶ μαντεύεσθαι. οἵπερ οὖν καὶ προεῖπον τὴν τοῦ Ὤχου περὶ τοὺς ὑπηκόους ἀγριότητα καὶ τὸ φονικὸν αὐτοῦ, διά τινων ἀπορρήτων συμβόλων καταγνόντες τοῦτο. ὅτε γὰρ Ἀρταξέρξου

19 Ὠμίσης Scheffer ὁμίσης codd

τοῦ πατρὸς αὐτοῦ τελευτήσαντος ἐς τὴν βασιλείαν τῶν Περσῶν ὁ Ὦχος παρῆλθεν, οἱ μάγοι προσέταξαν τῶν εὐνούχων τινὶ τῶν πλησίον παρεστώτων φυλάξαι τὸν Ὦχον τῆς τραπέζης παρατεθείσης τίνι πρώτῳ τῶν παρακειμένων ἐπιχείρεῖ. καὶ ὁ μὲν εἱστήκει τηρῶν τοῦτο, ὁ δὲ Ὦχος τὰς χεῖρας ἐκτείνας τῇ μὲν δεξιᾷ τῶν μαχαιρίων τῶν παρακειμένων ἓν ἔλαβε, τῇ δὲ ἑτέρᾳ τὸν μέγιστον τῶν ἄρτων προσειλκύσατο, καὶ ἐπιθεὶς ἐπ' αὐτὸν τῶν κρεῶν, εἶτα τέμνων ἤσθιεν ἀφειδῶς. ἅπερ ἀκούσαντες οἱ μάγοι δύο ταῦτα ἐμαντεύσαντο, εὐετηρίαν τὴν ἐξ ὡρῶν καὶ εὐφορίαν τὴν παρὰ τὸν τῆς ἀρχῆς αὐτοῦ χρόνον καὶ πολλοὺς φόνους.

ib. IV, 8: ὅτι τὸν Ὦχον οἱ Αἰγύπτιοι τῇ ἐπιχωρίῳ φωνῇ Ὄνον ἐκάλουν τὸ νωθὲς αὐτοῦ τῆς γνώμης ἐκ τῆς ἀσθενείας τοῦ ζῴου διαβάλλοντες. ἀνθ' ὧν ἐκεῖνος τὸν Ἆπιν πρὸς βίαν κατέθυσεν Ὄνῳ.

ib. VI, 8: τὸν Ἆπιν ἐν Αἰγύπτῳ γενόμενος ἀπέκτεινε καὶ οὗτος (sc. ὁ Ὦχος), ὡς ὁ Καμβύσης πρότερον.

ib. IX, 3: πρῶτοι . . . Πέρσαι πεντακόσιοι οἱ καλούμενοι μηλοφόροι περὶ αὐτὴν (sc. τὴν Ἀλεξάνδρου σκηνὴν) ἐντὸς εἱστήκεσαν.

ib. 39: πῶς δὲ οὐκ ἂν φαίη τις γελοίους ἅμα καὶ παραδόξους τούσδε τοὺς ἔρωτας; τὸν μὲν Ξέρξου, ὅτι πλατάνου ἠράσθη κτλ.

ib. XII, 1: (Κῦρος) πίνειν ἔμελλε κατὰ τὸν τρόπον τὸν Περσικόν· μετὰ γὰρ τὸ ἐμπλησθῆναι τροφῆς οἱ Πέρσαι τῷ τε οἴνῳ καὶ ταῖς προπόσεσιν εὖ μάλα ἀποσχολάζουσιν, ὡς πρὸς ἀντίπαλον τὸν πότον ἀποδυόμενοι.

de nat. anim. VI, 39: τῶν ἀρρένων ** οἱ πατέρες τοὺς πλείστους νεβροὺς ἀναιροῦσιν, ἵνα μὴ πληθύωνται εἶτα μέντοι καὶ τὰς μητέρας ἀναβαίνωσι· μίασμα γὰρ καὶ ἐν τοῖς ἀλόγοις καὶ ἐναγὲς ἔργον δοκεῖ τοῦτο δήπου. Κύρῳ δὲ καὶ Παρυσάτιδι, ὦ Πέρσαι, καὶ καλὰ ταῦτα καὶ ἔνδικα ἐδόκει· καὶ ἐφίλει Κῦρος τὴν μητέρα κακῶς, καὶ ἐφιλεῖτο ὑπὸ τῆς μητρὸς φιλίαν ὁμοίαν.

ib. X, 28: σάλπιγγος ἦχον βδελύττονται Βουσιρῖται καὶ Ἄβυδος ἡ Αἰγυπτία καὶ Λύκων πόλις, ἐπεί πως ἔοικεν ὄνῳ βρωμωμένῳ. ἀλλὰ καὶ ὅσοι περὶ τὴν θρησκείαν ἔχουσι τὴν τοῦ Σαράπιδος μισοῦσι τὸν ὄνον. τοῦτό τοι καὶ Ὦχος

23 τὸν μὲν Ξέρξου Perizonius τὸν μὲν ξέρξην et τοὺς μὲν ξέρξου codd 28 οἷον εἰ πρὸς τὸν πότον ὡς πρὸς ἀντίπαλον codd 37 πόλις καὶ λέγουσι τὴν αἰτίαν codd

ὁ Πέρσης εἰδὼς ἀπέκτεινε μὲν τὸν Ἆπιν, ἐξεθέωσε δὲ τὸν ὄνον, ἐς τὰ ἔσχατα λυπῆσαι θέλων τοὺς Αἰγυπτίους. ἔδωκε δὲ ἄρα καὶ αὐτὸς δίκας τῷ ἱερῷ βοῒ οὐ μεμπτὰς οὐδὲ ἥττονας Καμβύσου τοῦ πρώτου τὴν θεοσυλίαν ταύτην τετολμηκότος.

ib. XII, 23: ἐν τῇ Ἐλυμαίᾳ χώρᾳ νεώς ἐστιν Ἀναΐτιδος, καί εἰσιν ἐνταυθοῖ τιθασοὶ λέοντες, καὶ τοὺς ἐς τὸν νεὼν παριόντας ἀσπάζονταί τε καὶ σαίνουσι κτλ.

fragm. (ed. Hercher) 35: τὸν ἐν Μένδῃ τράγον Πανὸς ἱερὸν κατέθυσέ τε (Ὦχος) καὶ σκευάσας ποικίλως ταύτην ὁ δυστυχὴς ἄρα τὴν δαῖτα ἄσατο.

ib. 37: Ὦχος τὸν Ἆπιν ἀποκτείνας ἐβούλετο αὐτὸν τοῖς μαγείροις παραβαλεῖν, ἵνα αὐτὸν κρεουργήσωσι καὶ παρασκευάσωσιν ἐπὶ δείπνῳ.

Pseudo-Lucianus

(212 vel 213 scripsit)

Luciani opera (ed. Jacobitz), Macrob. 4: γένη . . . ὅλα μακρόβια ἱστόρηται διὰ τὴν δίαιταν, ὥσπερ . . . οἱ καλούμενοι . . . μάγοι, γένος τοῦτο μαντικὸν καὶ θεοῖς ἀνακείμενοι παρά τε Πέρσαις καὶ Πάρθοις καὶ Βάκτροις καὶ Χορασμίοις καὶ Ἀρείοις καὶ Σάκαις καὶ Μήδοις καὶ παρὰ πολλοῖς ἄλλοις βαρβάροις ἐρρωμένοι τέ εἰσι καὶ πολυχρόνιοι διὰ τὸ μαγεύειν διαιτώμενοι καὶ αὐτοὶ ἀκριβέστερον.

Diogenes Laertius

(sub Alexandro Severo eiusque successoribus scripsit)

de vit. philos. (ed. Huebner) prooem. 1, 1: τὸ τῆς φιλοσοφίας ἔργον ἔνιοί φασιν ἀπὸ βαρβάρων ἄρξαι. γεγενῆσθαι γὰρ παρὰ . . . Πέρσαις Μάγους.

ib. 2, 2: ἀπὸ . . . τῶν Μάγων, ὧν ἄρξαι Ζωροάστρην τὸν Πέρσην, Ἑρμόδωρος μὲν ὁ Πλατωνικὸς ἐν τῷ περὶ μαθημάτων φησὶν εἰς τὴν Τροίας ἅλωσιν ἔτη γεγονέναι πεντακισχίλια· Ξάνθος δὲ ὁ Λυδὸς εἰς τὴν Ξέρξου διάβασιν ἀπὸ τοῦ Ζωροάστρου ἑξακισχίλιά φησι, καὶ μετ' αὐτὸν γεγονέναι πολλούς τινας Μάγους κατὰ διαδοχήν, Ὀστάνας καὶ Ἀστραμψύχους καὶ Γωβρύας καὶ Παζάτας, μέχρι τῆς Περσῶν ὑπ' Ἀλεξάνδρου καταλύσεως.

ib. 5 s., 6 s.: . . . φάσκοντες ἀπὸ βαρβάρων ἄρξαι φιλοσοφίαν καὶ τὸν τρόπον παρ' ἑκάστοις αὐτῆς

6 Ἀναΐτιδος Valesius ἀδώνιδος codd 29 legebatur ἑξακόσια. Illud duorum mss. auctoritate commendavit Menagius.

ἐκτίθενται· καί φασι . . . τοὺς . . . Μάγους περί τε θεραπείας θεῶν δνατρίβειν καὶ θυσίας καὶ εὐχάς, ὡς αὐτοὺς μόνους ἀκουομένους. ἀποφαίνεσθαί τε περί τε οὐσίας θεῶν καὶ γενέσεως, οὓς καὶ πῦρ εἶναι καὶ γῆν καὶ ὕδωρ· τῶν δὲ ξοάνων καταγινώσκειν, καὶ μάλιστα τῶν λεγόντων ἄρρενας εἶναι θεοὺς καὶ θηλείας. 7. περί τε δικαιοσύνης λόγους ποιεῖσθαι, καὶ ἀνόσιον ἡγεῖσθαι πυρὶ θάπτειν· καὶ ὅσιον νομίζειν μητρὶ ἢ θυγατρὶ μίγνυσθαι, ὡς ἐν τῷ εἰκοστῷ τρίτῳ φησὶν ὁ Σωτίων. ἀσκεῖν τε μαντικὴν καὶ πρόρρησιν, καὶ αὐτοῖς θεοὺς ἐμφανίζεσθαι λέγοντας. ἀλλὰ καὶ εἰδώλων πλήρη εἶναι τὸν ἀέρα, κατ' ἀπόρροιαν ὑπὸ ἀναθυμιάσεως εἰςκρινομένων ταῖς ὄψεσι τῶν ὀξυδερκῶν· προκοσμήματά τε καὶ χρυσοφορίας ἀπαγορεύειν. τούτων δὲ ἐσθὴς μὲν λευκή, στιβὰς δὲ εὐνή, καὶ λάχανον τροφή, τυρός τε καὶ ἄρτος εὐτελής, καὶ κάλαμος ἡ βακτηρία, ᾧ κεντοῦντες, φασί, τοῦ τυροῦ ἀνηροῦντο καὶ ἀπήσθιον. 8. τὴν δὲ γοητικὴν μαγείαν οὐδ' ἔγνωσαν, φησὶν Ἀριστοτέλης ἐν τῷ Μαγικῷ καὶ Δείνων ἐν τῇ πέμπτῃ τῶν ἱστοριῶν· ὃς καὶ μεθερμηνευόμενόν φησι τὸν Ζωροάστρην ἀστροθύτην εἶναι· φησὶ δὲ τοῦτο καὶ ὁ Ἑρμόδωρος. Ἀριστοτέλης δ' ἐν πρώτῳ περὶ φιλοσοφίας καὶ πρεσβυτέρους εἶναι τῶν Αἰγυπτίων· καὶ δύο κατ' αὐτοὺς εἶναι ἀρχάς, ἀγαθὸν δαίμονα καὶ κακὸν δαίμονα· καὶ τῷ μὲν ὄνομα εἶναι Ζεὺς καὶ Ὠρομάσδης, τῷ δὲ Ἅιδης καὶ Ἀρειμάνιος. φησὶ δὲ τοῦτο καὶ Ἕρμιππος ἐν τῷ πρώτῳ περὶ Μάγων καὶ Εὔδοξος ἐν τῇ Περιόδῳ καὶ Θεόπομπος ἐν τῇ ὀγδόῃ τῶν Φιλιππικῶν· 9. ὃς καὶ ἀναβιώσεσθαι κατὰ τοὺς Μάγους φησὶ τοὺς ἀνθρώπους καὶ ἔσεσθαι ἀθανάτους, καὶ τὰ ὄντα ταῖς αὐτῶν ἐπικλήσεσι διαμενεῖν. ταῦτα δὲ καὶ Εὔδημος ὁ Ῥόδιος ἱστορεῖ. Ἑκαταῖος δὲ καὶ γενητοὺς τοὺς θεοὺς εἶναι κατ' αὐτούς. Κλέαρχος δὲ ὁ Σολεὺς ἐν τῷ περὶ παιδείας καὶ τοὺς Γυμνοσοφιστὰς ἀπογόνους εἶναι τῶν Μάγων φησίν. ἔνιοι δὲ καὶ τοὺς Ἰουδαίους ἐκ τούτων εἶναι. πρὸς τούτοις καταγινώσκουσιν Ἡροδότου οἱ τὰ περὶ Μάγων γράψαντες· μὴ γὰρ ἂν εἰς τὸν ἥλιον βέλη Ξέρξην ἀκοντίσαι, μηδ' εἰς τὴν θάλασσαν πέδας καθεῖναι, θεοὺς ὑπὸ τῶν Μάγων παραδεδομένους. τὰ μέντοι ἀγάλματα εἰκότως καθαιρεῖν.

ib. II, 5, 24, 54: φησὶ . . . Ἀριστοτέλης μάγον τινὰ ἐλθόντα ἐκ Συρίας εἰς Ἀθήνας τά τε ἄλλα καταγνῶναι τοῦ Σωκράτους, καὶ δὴ καὶ βίαιον ἔσεσθαι τὴν τελευτὴν αὐτῷ.

8 τριςκαιδεκάτῳ Roeper 19 ἀστροθεάτην Menagius cum Bocharto ἀστροθέτην Toupius ἀρτοθύτην Lagarde 28 αὐταῖς Casaubonus Roe 37 καθελεῖν Men

ib. IX, 11, 1 s., 61: Πύρρων . . . ἤκουσε Βρύσωνος τοῦ Στίλπωνος, ὥς Ἀλέξανδρος ἐν Διαδοχαῖς, εἶτα Ἀναξάρχῳ ξυνακολουθῶν πανταχοῦ, ὥς καὶ τοῖς Γυμνοσοφισταῖς ἐν Ἰνδίᾳ συμμῖξαι καὶ τοῖς Μάγοις.

Hippolytus

(236 vel 237 mortuus est)

refutat. omn. haeres. (ed. Wendland) I, 2, 12 s.: Διόδωρος . . . ὁ Ἐρετριεὺς καὶ Ἀριστόξενος ὁ μουσικός φασι πρὸς Ζαράταν τὸν Χαλδαῖον ἐληλυθέναι Πυθαγόραν· τὸν δὲ ἐκθέσθαι αὐτῷ δύο εἶναι ἀπ' ἀρχῆς τοῖς οὖσιν αἴτια, πατέρα καὶ μητέρα· καὶ πατέρα μὲν φῶς, μητέρα δὲ σκότος, τοῦ δὲ φωτὸς μέρη θερμόν, ξηρόν, κοῦφον, ταχύ· τοῦ δὲ σκότους ψυχρόν, ὑγρόν, βαρύ, βραδύ· ἐκ δὲ τούτων πάντα τὸν κόσμον συνεστάναι, ἐκ θηλείας καὶ ἄρρενος. 13. εἶναι δὲ τὸν κόσμον φησὶν κατὰ μουσικὴν ἁρμονίαν, διὸ καὶ τὸν ἥλιον ποιεῖσθαι τὴν περίοδον ἐναρμόνιον. περὶ δὲ τῶν ἐκ γῆς καὶ κόσμου γινομένων τάδε φασὶ λέγειν τὸν Ζαράταν· δύο δαίμονας εἶναι, τὸν μὲν οὐράνιον, τὸν δὲ χθόνιον· καὶ τὸν μὲν χθόνιον ἀνιέναι τὴν γένεσιν ἐκ τῆς γῆς· εἶναι δὲ ὕδωρ, τὸν δὲ οὐράνιον πῦρ μετέχον τοῦ ἀέρος, θερμὸν καὶ ψυχρόν· διὸ καὶ τούτων οὐδὲν ἀναιρεῖν οὐδὲ μιαίνειν φησὶ τὴν ψυχήν· ἐστὶ γὰρ ταῦτα οὐσία τῶν πάντων. 14. κυάμους δὲ λέγεται παραγγέλλειν μὴ ἐσθίειν, αἰτίᾳ τοῦ τὸν Ζαράταν εἰρηκέναι κατὰ τὴν ἀρχὴν καὶ σύγκρισιν τῶν πάντων συνισταμένης τῆς γῆς ἔτι καὶ συνσεσημμένης γενέσθαι τὸν κύαμον.

ib. IV, 43, 3: οἱ . . . ἐνδοτέρω τῆς ἀληθείας νομίσαντες γεγονέται Πέρσαι ἔφασαν τὸν θεὸν εἶναι φωτεινόν, φῶς ἐν ἀέρι συνεχόμενον.

ib. V, 14, 8: δύναμις δεξιὰ ἐξουσιάζει καρπῶν· τοῦτον ἡ ἀγνωσία ἐκάλεσε Μῆνα, οὗ κατ' εἰκόνα ἐγένοντο Βουμέγας, Ὀστάνης, Ἑρμῆς τρισμέγιστος, Κουρίτης, Πετόσιρος, Ζωδάριον, Βηρωσός, Ἀστράμψουχος, Ζωρόαστρις.

ib. VI, 23, 2: Ζαράτας ὁ Πυθαγόρου διδάσκαλος ἐκάλει τὸ μὲν ἓν πατέρα, τὸ δὲ δύο μητέρα.

5 Εὔδωρος ὁ Ἀλεξανδρεὺς Roeper 7 Ζαρέταν B(arberinus IV, 78) Ζαράτην O(ttobonianus 194) 11 πάντων codd corr. Roe 13 φησὶν Gronov φασὶν Wolf φύσιν codd τὴν κόσμου φύσιν καὶ Roe 19 τοῦ ψυχροῦ Roe οὐδὲ B ἀναιρεῖ Roe 24 τὸν ἄνθρωπον ὁμοῦ καὶ post γενέσθαι add. Sauppe 29 Βουζύγης Miller

Origenes

(c. 184—250 vixit)

c. Cels. (ed. Koetschau) I, 5. 324: ἐκτίθεται (ὁ Κέλσος) . . . καὶ Πέρσας τοῦτο φρονοῦντας (sc. μὴ νομίζοντας χειροποιήτους θεούς), παρατιθέμενος Ἡρόδοτον ἱστοροῦντα αὐτό.

ib. 16. 335: ὅρα οὖν εἰ μὴ ἄντικρυς κακουργῶν ἐξέβαλε (ὁ Κέλσος) τοῦ καταλόγου τῶν σοφῶν (sc. ὠφελησάντων τοὺς κατ' αὐτοὺς καὶ διὰ συγγραμμάτων τοὺς μετ' αὐτοὺς) καὶ Μωϋσέα, Λίνον δὲ καὶ Μουσαῖον καὶ Ὀρφέα καὶ τὸν Φερεκύδην καὶ τὸν Πέρσην Ζωροάστρην καὶ Πυθαγόραν φήσας περὶ τῶνδε διειληφέναι, καὶ ἐς βίβλους κατατεθεῖσθαι τὰ ἑαυτῶν δόγματα καὶ πεφυλάχθαι αὐτὰ μέχρι δεῦρο.

ib. 24. 342: ἐὰν . . . δυνηθῶμεν . . . παραστῆσαι φύσιν ὀνομάτων ἐνεργῶν, ὧν τισι χρῶνται Αἰγυπτίων οἱ σοφοὶ ἢ τῶν παρὰ Πέρσαις μάγων οἱ λόγιοι ἢ τῶν παρ' Ἰνδοῖς φιλοσοφούντων Βραχμᾶνες ἢ Σαμαναῖοι . . . τότ' ἐροῦμεν ὅτι τὸ μὲν Σαβαὼθ ὄνομα . . . οὐκ ἐπὶ τῶν τυχόντων καὶ γενητῶν κεῖται πραγμάτων ἀλλ' ἐπί τινος θεολογίας ἀποῤῥήτου.

ib. V, 27. 597: ὁ βουλόμενος . . . ἀπαγγειλάτω . . . ἡμῖν . . . εἰ ὀρθῶς ἔχουσι φέρ' εἰπεῖν οἱ Σκυθῶν περὶ ἀναιρέσεως πατέρων νόμοι ἢ οἱ Περσῶν, μὴ κωλυόντων γαμεῖσθαι τοῖς ⟨οἰκείοις⟩ παισὶ τὰς μητέρας μηδὲ ὑπὸ τῶν πατέρων τὰς ἑαυτῶν θυγατέρας.

ib. 44. 611: Κέλσος . . . νομίζει . . . τὸ περὶ οὐρανοῦ δόγμα μηδὲν δαφέρειν τοῦ περὶ τοῦ θεοῦ καί φησι παραπλησίως τοῖς Ἰουδαίοις τοὺς Πέρσας τῷ Διῒ θυσίας ἐπιτελεῖν, ἐπὶ τὰ ὑψηλότατα τῶν ὀρέων ⟨ἀναβαίνοντας⟩· οὐχ ὁρῶν ὅτι Ἰουδαῖοι ὡς ἕνα θεὸν ἠπίσταντο, οὕτως ἕνα τὸν τῆς προσευχῆς ἅγιον οἶκον καὶ ἓν τὸ τῶν ὁλοκαρπωμάτων θυσιαστήριον καὶ ἓν τὸ τῶν θυμιαμάτων θυμιατήριον καὶ ἕνα τὸν τοῦ θεοῦ ἀρχιερέα. οὐδὲν οὖν κοινὸν πρὸς Πέρσας ἦν Ἰουδαίοις, ἐπὶ τὰ ὑψηλότατα τῶν ὀρέων, πλειόνων ὄντων, ἀναβαίνοντας καὶ θυσίας ἐπιτελοῦντας, οὐδὲν παραπλήσιον ἐχούσας ταῖς κατὰ τὸν Μωϋσέως νόμον· καθ' ὅν „ὑποδείγματι καὶ σκιᾷ“ ἐλάτρευον „τῶν ἐπουρανίων“ οἱ Ἰουδαίων ἱερεῖς, ἐν ἀποῤῥήτῳ διηγούμενοι

23 ⟨οἰκείοις⟩ Φ (= B [Venetus Marcianus 47] C [Parisinus Suppl. 615] DE [Veneti Marciani 122. 48] H [Parisinus 456] Pat[mius 270]) Robinson 30 ὁλοκαυτωμάτων Guiet.

τὸ τοῦ νόμου περὶ τῶν θυσιῶν βούλημα καὶ ὧν σύμβολα ἦσαν αὗται. Πέρσαι τοίνυν πάντα τὸν τοῦ οὐρανοῦ κύκλον Δία καλείτωσαν, ἡμεῖς δὲ οὔτε Δία οὔτε τὸν θεόν φαμεν εἶναι τὸν οὐρανόν, οἵ γε ἐπιστάμεθα καί τινα τῶν ἡττόνων τοῦ θεοῦ ὑπεραναβεβηκέναι τοὺς οὐρανοὺς καὶ πᾶσαν αἰσθητὴν φύσιν.

ib. VI, 80. 693: καὶ Μάγους τοῖς ἐνθεωτάτοις κατατάττει ἔθνεσιν ὁ Κέλσος, ἀφ' ὧν ἡ παρώνυμος τοῦ ἔθνους αὐτῶν μαγεία καὶ τοῖς λοιποῖς ἔθνεσιν ἐπὶ διαφθορᾷ καὶ ὀλέθρῳ τῶν χρωμένων αὐτῇ ἐπιδεδήμηκε . . . Πέρσαι . . . οἱ τὰς μητέρας γαμοῦντες καὶ θυγατράσι μιγνύμενοι ἔνθεον ἔθνος εἶναι τῷ Κέλσῳ δοκοῦσιν.

ib. VII, 63. 739: Πέρσαι οὐκ ἀνέχονται νεὼς ὁρῶντες καὶ βωμοὺς καὶ ἀγάλματα.

ib. 64. 739: ὥσπερ . . . τὸ ἓν τοῦτο πρᾶγμα, ἡ τῆς μοιχείας ἀποχή, ἓν εἶναι δοκοῦσα πολλὰ ἁλίσκεται τυγχάνουσα παρὰ τὰ διάφορα δόγματα καὶ τὰς προθέσεις, οὕτως καὶ τῶν μὴ ἀνεχομένων παρὰ βωμοῖς καὶ ναοῖς καὶ ἀγάλμασι σέβειν τὸ θεῖον Σκύθαι μέν ἢ Λιβύων οἱ Νομάδες ἢ Σῆρες οἱ ἄθεοι ἢ Πέρσαι ἀπὸ δογμάτων τοῦτο πράττουσιν ἄλλων, ἢ ὧν Χριστιανοὶ καὶ Ἰουδαῖοι οὐκ ἀνέχονται τῆς τοιαύτας ὑπολαμβανομένης εἰς τὸ θεῖον θεραπείας.

ib. 65. 740: εἴρηται . . . ἐν τοῖς ἀνωτέρω περὶ Περσῶν πρὸς τὸ νεὼς μὲν αὐτοὺς μὴ ἱδρύεσθαι σέβειν δὲ τὸν ἥλιον καὶ τὰ τοῦ θεοῦ δημιουργήματα· ὅπερ ἡμῖν ἀπαγορεύεται . . . ἀρκεῖ τοίνυν πρὸς ἐκείνοις καὶ ταῦτα περὶ τοῦ Περσῶν ἔθνους, βωμοὺς καὶ ἀγάλματα ἐκτρεπομένων λατρευότων δὲ „τῇ κτίσει παρὰ τὸν κτίσαντα".

Cyprianus

(258 mortuus est)

quod idola dii non sint (ed. Hartel) 6: Ostanes et formam veri Dei negat conspici posse et angelos veros sedi eius dicit adsistere.

Philostratus

(sub Philippo Arabe scripsit)

vita Apollon. (ed. Kayser) I, 18: εὕρημα . . . τοὺς μάγους ἐποιεῖτο, οἳ Βαβυλῶνα καὶ Σοῦσα οἰκοῦσι.

29 Ostanes L (Vindobonensis 962) P(arisinus 1647 A) B(ambergensis 476) hostanes M(onacensis) edit demosthenes ex hosthenes C (Sangermanensis)[2] sosthenes edit. pr. et om. CB 30 veri B sed i ex corr., verbi L veros] servos coni. Routh 31 sedi LB

ib. 31: προσελθόντα . . . καὶ ἀσπασάμενον (sc. Ἀπολλώνιον) προσεῖπέ τε ὁ βασιλεὺς (sc. τῶν Περσῶν) φωνῇ Ἑλλάδι καὶ (δὴ) ἐκέλευσε θύειν μετ' αὐτοῦ· λευκὸν δὲ ἄρα ἵππον τῶν σφόδρα Νισαίων καταθύσειν ἔμελλε τῷ Ἡλίῳ φαλάροις κοσμήσας, ὥσπερ ἐς πομπήν, ὁ δ' ὑπολαβὼν „σὺ μέν, ὦ βασιλεῦ, θῦε," ἔφη, „τὸν σαυτοῦ τρόπον, ἐμοὶ δὲ ξυγχώρησον θῦσαι τὸν ἐμαυτοῦ".

vitae sophist. (ed. Kayser) Α' ι' 209: Πρωταγόρας . . . ὁ Ἀβδηρίτης σοφιστὴς καὶ Δημοκρίτου μὲν ἀκροατὴς οἴκοι ἐγένετο, ὡμίλησε δὲ καὶ τοῖς ἐκ Περσῶν μάγοις κατὰ τὴν Ξέρξου ἐπὶ τὴν Ἑλλάδα ἔλασιν. πατὴρ γὰρ ἦν αὐτῷ Μαίανδρος πλούτῳ κατεσκευασμένος παρὰ πολλοὺς τῶν ἐν τῇ Θρᾴκῃ, δεξάμενος δὲ καὶ τὸν Ξέρξην οἰκίᾳ τε καὶ δώροις τὴν ξυνουσίαν τῶν μάγων τῷ παιδὶ παρ' αὐτοῦ εὕρετο. οὐ γὰρ παιδεύουσι τοὺς μὴ Πέρσας Πέρσαι μάγοι, ἢν μὴ ὁ βασιλεὺς ἐφῇ. τὸ δὲ ἀπορεῖν φάσκειν, εἴτε εἰσὶ θεοί, εἴτε οὐκ εἰσί, δοκεῖ μοι Πρωταγόρας ἐκ τῆς Περσικῆς παιδεύσεως παρανομῆσαι· μάγοι γὰρ ἐπιθειάζουσι μὲν οἷς ἀφανῶς δρῶσι, τὴν δὲ ἐκ φανεροῦ δόξαν τοῦ θείου καταλύουσιν οὐ βουλόμενοι δοκεῖν παρ' αὐτοῦ δύνασθαι.

Solinus

(c. 250 floruit)

coll. rer. memor. (ed. Mommsen) 55. 2: deinde tractus hic procedit usque ad castellum quod Magi obtinent, Fidasarcida nomine: hic Cyri sepulcrum.

Porphyrius

(233—c. 304 vixit)

vit. Pythag. (ed. Nauck) 6: περὶ τὰς τῶν θεῶν ἁγιστείας καὶ τὰ λοιπὰ τῶν περὶ τὸν βίον ἐπιτηδευμάτων παρὰ τῶν μάγων φασὶ διακοῦσαί τε καὶ λαβεῖν.

ib. 12: ἐν . . . Βαβυλῶνι τοῖς τ' ἄλλοις Χαλδαίοις συνεγένετο καὶ πρὸς Ζάρατον ἀφίκετο, παρ' οὗ καὶ ἐκαθάρθη τὰ τοῦ προτέρου βίου λύματα καὶ ἐδιδάχθη ἀφ' οὗ

3 καὶ διεκέλευσε codd καὶ ἐκέλευσε Eusebius adv. Hieroclem Westermann 23 Phidasarcida G(uelferbytanus Gudianus 163) B(asileensis F. II. 33) phydasarchida P(arisinus 6810) fidasarcida l (Leidensis Voss. Q. 87 pars extr.) phydarsaci H(eidelbergensis et Bernensis consentientes) satarchida S(angallensis 187) A(ngelomontanus I. 4. 15) Frasargida Plinii libb 28 Ζάρατον Nauck ζάρβατον B(odleianus 251) ζάρατον V(aticanus 325)

ἁγνεύειν προσήκει τοῖς σπουδαίοις, τόν τε περὶ φύσεως λόγον ἤκουσε καὶ τίνες αἱ τῶν ὅλων ἀρχαί.

ib. 41: τοιοῦτα παρῄνει· μάλιστα δ' ἀληθεύειν· τοῦτο γὰρ μόνον δύνασθαι τοὺς ἀνθρώπους ποιεῖν θεῷ παραπλησίους. ἐπεὶ καὶ τοῦ θεοῦ, ὡς παρὰ τῶν μάγων ἐπυνθάνετο, ὃν Ὡρομάζην καλοῦσιν ἐκεῖνοι, ἐοικέναι τὸ μὲν σῶμα φωτί τὴν δὲ ψυχὴν ἀληθείᾳ.

de antro nymph. (ed. Nauck) 6: Πέρσαι τὴν εἰς κάτω κάθοδον τῶν ψυχῶν καὶ πάλιν ἔξοδον μυσταγωγοῦντες τελοῦσι τὸν μύστην, ἐπονομάσαντες σπήλαιον ⟨τὸν⟩ τόπον· πρῶτα μέν, ὡς φησὶν Εὔβουλος, Ζωροάστρου αὐτοφυὲς σπήλαιον ἐν τοῖς πλησίον ὄρεσι τῆς Περσίδος ἀνθηρὸν καὶ πηγὰς ἔχον ἀνιερώσαντος εἰς τιμὴν τοῦ πάντων ποιητοῦ καὶ πατρὸς Μίθρου, εἰκόνα φέροντος [αὐτῷ] τοῦ σπηλαίου τοῦ κόσμου, ὃν ὁ Μίθρας ἐδημιούργησε, τῶν δὲ ἐντὸς κατὰ συμμέτρους ἀποστάσεις σύμβολα φερόντων τῶν κοσμικῶν στοιχείων καὶ κλιμάτων· μετὰ δὲ τοῦτον τὸν Ζωροάστρην κρατήσαντος καὶ παρὰ τοῖς ἄλλοις, δι' ἄντρων καὶ σπηλαίων εἴτ' οὖν αὐτοφυῶν εἴτε χειροποιήτων τὰς τελετὰς ἀποδιδόναι.

de abstin. (ed. Nauck) IV, 16: παρὰ ... τοῖς Πέρσαις οἱ περὶ τὸ θεῖον σοφοὶ καὶ τούτου θεράποντες μάγοι μὲν προσαγορεύονται· τοῦτο γὰρ δηλοῖ κατὰ τὴν ἐπιχώριον διάλεκτον ὁ μάγος· οὕτω δὲ μέγα καὶ σεβάσμιον γένος τοῦτο παρὰ Πέρσαις νενόμισται, ὥστε καὶ Δαρεῖον τὸν Ὑστάπου ἐπιγράψαι τῷ μνήματι πρὸς τοῖς ἄλλοις ὅτι καὶ μαγικῶν γένοιτο διδάσκαλος. διῄρηντο δὲ οὗτοι εἰς γένη τρία, ὡς φησὶν Εὔβουλος ὁ περὶ τὴν τοῦ Μίθρου ἱστορίαν ἐν πολλοῖς βιβλίοις ἀναγράψας, ὧν οἱ πρῶτοι καὶ λογιώτατοι οὔτ' ἐσθίουσιν ἔμψυχον οὔτε φονεύουσιν, ἐμμένουσι δὲ τῇ παλαιᾷ τῶν ζῴων ἀποχῇ· οἱ δὲ δεύτεροι χρῶνται μέν, οὐ μέντοι τῶν ἡμέρων ζῴων τι κτείνουσιν· οὐδ' οἱ τρίτοι ὁμοίως τοῖς ἄλλοις ἐφάπτονται πάντων· καὶ γὰρ δόγμα πάντων ἐστὶ τῶν πρώτων τὴν μετεμψύσωσιν εἶναι, ὃ καὶ ἐμφαίνειν ἐοίκασιν ἐν τοῖς τοῦ Μίθρα μυστηρίοις.

de vita Plot. (Plotini Enneades ed. Volkmann) 16: γεγόνασι ... κατ' αὐτὸν τῶν Χριστανῶν πολλοὶ μὲν καὶ

5 καὶ παρὰ τοῦ θεοῦ Westermann 10 τὸν τόπον Goens τόπον codd 14 φέροντος αὐτῷ τοῦ] φέροντ τ' τοῦ M(arcianus) φέροντος τοῦ Hercher 28 ὡς φησὶν Εὔβ. Canter ὁ τὴν περὶ Nau ὁ περὶ τῆς ἱστορίας Lipsius ὁ περὶ τὴν al. μὲν κρέασι Cumont 33 πάντων Hercher πάντων ἐστὶ τὸ πρῶτον Nau 34 εἶναι· ὃ καὶ εἶναι· ὃ καὶ ed. pr.

ἄλλοι, αἱρετικοὶ δὲ ἐκ τῆς παλαιᾶς φιλοσοφίας ἀνηγμένοι οἱ περὶ Ἀδέλφιον καὶ Ἀκυλῖνον, οἳ τὰ Ἀλεξάνδρου τοῦ Λίβυος καὶ Φιλοκώμου καὶ Δημοστράτου τοῦ Λυδοῦ συγγράμματα πλεῖστα κεκτημένοι ἀποκαλύψεις τε προφέροντες Ζωροάστρου καὶ Ζωστριανοῦ καὶ Νικοθέου καὶ Ἀλλογενοῦς καὶ Μέσου καὶ ἄλλων τοιούτων πολλοὺς ἐξηπάτων κτλ.

Arnobius

(sub Diocletiano scripsit)

adv. nat. (ed. Reifferscheid) I, 5: ut inter Assyrios et Bactrianos Nino quondam Zoroastreque ductoribus non tantum ferro dimicaretur et viribus, verum etiam Magicis et Chaldaeorum ex reconditis disciplinis, invidia nostra haec fuit?

ib. 52: age nunc veniat quaeso per igneam zonam magus interiore ab orbe Zoroastres, Hermippo ut adsentiamur auctori, Bactrianus et ille conveniat, cuius Ctesias res gestas historiarum exponit in primo, Armenius Zostriani nepos et familiaris Pamphylus Cyri.

ib. IV, 12: magi . . . suis in accitionibus memorant antitheos saepius obrepere pro accitis, esse autem hos quosdam materiis ex crassioribus spiritus, qui deos se fingant nesciosque mendaciis et simulationibus ludant.

Flavius Vopiscus

(c. 305 scripsit)

(Peter, script. hist. Aug.) Aurelianus 5, 5: data est ei praeterea, cum legatus ad Persas isset, patera qualis solet imperatoribus dari a rege Persarum, in qua insculptus erat Sol eo habitu quo colebatur ab eo templo in quo mater eius fuerat sacerdos.

Eusebius Caesareensis

(c. 262—340 vixit)

praep. evang. (ed. Gaisford) X, 9, 10. 484 d: καθ' ὃν (sc. Νίνον) Ζωροάστρης ὁ μάγος Βακτρίων ἐβασίλευσε.

3 καὶ Λυδοῦ codd 8 Zoroastraeque P(arisinus 1661) corr. 10 ex om. Gelenius 12 quaeso per Salmasius quae super P qui super Sabaeus quis Azonaces magus Heraldus 13 Zor. del. Heraldus Hosthanis Ge 16 panfylus P Armenius Zostriani nepos et familiaris Pamphylus Her Cotelier Armenii filius Zoroastris nepos et familia Pamphylus Herus Windischmann. 24 insculptus] stulitus B(ambergensis)* (ut vid.) instulitus P(alatinus)* corr. B^3 P^3 inscalptus ed. princ. Mediolanensis 27 βακτηρίων I (Venetus Marcianus 341)

Lactantius

(c. 340 mortuus est)

div. instit. (ed. Brandt) VII, 18, 2: Hystaspes ... descripta iniquitate saeculi huius extremi pios ac fideles a nocentibus segregatos ait cum fletu et gemitu extenturos esse ad coelum manus et inploraturos fidem Jovis: Jovem respecturum ad terram et auditurum voces hominum atque inpios extincturum.

Firmicus Maternus

(346 vel 347 scripsit)

de err. prof. rel. (ed. Ziegler) 5: Persae et Magi omnes qui Persicae regionis incolunt fines, ignem praeferunt, et omnibus elementis ignem putant debere praeponi. hi itaque ignem in duas dividunt potestates, naturam eius ad utriusque sexus transferentes, et viri et feminae simulacro ignis substantiam deputantes. et mulierem quidem triformi vultu constituunt, monstrosis eam serpentibus inligantes. quod ideo faciunt ne ab auctore suo diabolo aliqua ratione dissentiant, sed ut dea sua serpentibus pullulans maculosis diaboli insignibus adornetur.

Pseudo-Clemens

(350—400 scripsit)

hom. (Lagarde, Clementina) VI, 10: πάντα τὰ τοιαῦτα ὁμοίως τοιαύτην τινὰ ἀλληγορίαν ἔχοντα νόει μοι· Ἀπόλλωνα τὸν ἥλιον τὸν περιπολοῦντα εἶναι νόμιζε, γονὴν ὄντα τοῦ Διός, ὃν καὶ Μίθραν ἐκάλεσαν, ἐνιαυτοῦ συμπληροῦντα περίοδον.

ib. IX, 4 s.: ἐκ τοῦ γένους τούτου (sc. Χὰμ) γίνεταί τις κατὰ διαδοχὴν μαγικὰ παρειληφὼς ὀνόματι Νεβρὼδ ὥσπερ γίγας, ἐναντία τῷ θεῷ φρονεῖν ἑλόμενος, ὃν οἱ Ἕλληνες Ζωροάστρην προσηγόρευσαν. οὗτος μετὰ τὸν κατακλυσμὸν βασιλείας ὀρεχθεὶς καὶ μέγας ὢν μάγος, τοῦ νῦν βασιλεύοντος κακοῦ τὸν ὡροσκοποῦντα κόσμον ἀστέρα πρὸς τὴν ἐξ αὐτοῦ βασιλείας δόσιν μαγικαῖς ἠνάγκαζε τέχναις. ὁ δὲ (ἅτε δὴ ἄρχων ὢν καὶ τοῦ βιαζομένου τὴν ἐξουσίαν ἔχων) μετὰ ὀργῆς τὸ τῆς βασιλείας προσέχεε πῦρ, ἵνα πρός τε τὸν ὁρκισμὸν εὐγνωμονήσῃ, καὶ τὸν πρώτως

1 hydaspes S(Parisinus 1664) hyṣ^{d}ṭaspes (corr. m. 3) P(arisinus Puteani 1662) 2 extremi om. P 19 περιπλοῦντα P(arisinus 930) *

ἀναγκάσαντα τιμωρήσηται. 5. ἐκ ταύτης οὖν τῆς ἐξ οὐρανοῦ χαμαὶ πεσούσης ἀστραπῆς ὁ μάγος ἀναιρεθεὶς Νεβρώδ, ἐκ τοῦ συμβάντος πράγματος Ζωροάστρης μετωνομάσθη διὰ τὸ τὴν τοῦ ἀστέρος κατ' αὐτοῦ ζῶσαν ἐνεχθῆναι ῥοήν. οἱ δὲ ἀνόητοι τῶν τότε ἀνθρώπων ὡς διὰ τὴν εἰς θεὸν φιλίαν κεραυνῷ μεταπεμφθεῖσαν τὴν ψυχὴν νομίσαντες, τοῦ σώματος τὸ λείψανον κατορύξαντες, τὸν μὲν τάφον ναῷ ἐτίμησαν ἐν Πέρσαις, ἔνθα ἡ τοῦ πυρὸς καταφορὰ γέγονεν, αὐτὸν δὲ ὡς θεὸν ἐθρήσκευσαν . . . 6. . . . Πέρσαι πρῶτοι τῆς ἐξ οὐρανοῦ πεσούσης ἀστραπῆς λαβόντες ἄνθρακας τῇ οἰκείᾳ διεφύλαξαν τροφῇ, καὶ ὡς θεὸν οὐράνιον προτιμήσαντες τὸ πῦρ, ὡς πρῶτοι προσκυνήσαντες ὑπ' αὐτοῦ τοῦ πυρὸς πρῶτοι βασιλείας τετίμηνται . . .

rec. (Migne, P G I) I, 30: septima decima generatione apud Babyloniam Nemrod primus regnavit, urbemque construxit, et inde migravit ad Persas, eosque ignem colere docuit.

ib. IV, 27 s.: Cham . . . cuidam ex filiis suis qui Mesraim appellabatur, a quo Aegyptiorum et Babyloniorum et Persarum ducitur genus, male compertam magicae artis tradidit disciplinam; hunc gentes quae tunc erant Zoroastrem appellaverunt, admirantes primum magicae artis auctorem, cuius nomine etiam libri super hoc plurimi habentur. hic ergo astris multum ac frequenter intentus, et volens apud homines videri Deus, velut scintillas quasdam ex stellis producere et hominibus ostentare coepit, quo rudes atque ignari in stuporem miraculi traherentur, cupiensque augere de se huiusmodi opinionem, saepius ista moliebatur usquequo ab ipso daemone, quem importunius frequentabat, igni succensus concremaretur. 28. sed stulti homines qui tunc erant, cum debuissent utique opinionem, quam de eo conceperant abiicere, quippe quam poenali morte eius viderant confutatam, in maius eum extollunt. exstructo enim sepulcro ad honorem eius, tanquam amicum Dei ac fulminis ad coelum vehiculo sublevatum, adorare ausi sunt et quasi vivens astrum colere. hinc enim et nomen post mortem eius Zoroaster, hoc est vivum sidus, appellatum est ab his, qui post unam generationem Graecae linguae loquela fuerant repleti. 29. . . . eius quem supra diximus indignatione daemonis, cui nimis molestus fuerat conflagrasse, busti cineres, tanquam

12 προσκυνήσοντες P corr. Cotelier   πρώτῃ βασιλείᾳ O(ttobonianus)

fulminei ignis reliquias colligentes hi, qui erant primitus decepti, deferunt ad Persas, ut ab eis tanquam divinus e coelo lapsus ignis, perpetuis conservaretur excubiis, atque ut coelestis Deus coleretur.

ib. IX, 20: mos apud Persas, matres accipere in coniugium et sorores et filias, et sub illo omni axe incesta Persae ineunt matrimonia.

ib. 21: ex ipsa Persarum gente aliquanti ad peregrina profecti sunt, qui Magusaei appellantur, ex quibus usque in hodiernum sunt alii in Media, alii in Parthia, sed et in Aegypto nonnulli, plures autem in Galatia et Phrygia, qui omnes incestae huius traditionis formam indeclinabilem servant, ac posteris custodiendam transmittunt etiam cum plagam coeli mutaverint.

Ammianus Marcellinus

(c. 360 scripsit)

res gestae (ed. Clark) XVII, 5, 1 s.: rex Persarum . . . 2. litteras ad Constantium dedit . . ., quarum hunc fuisset accepimus sensum: 3. 'rex regum Sapor, particeps siderum, frater Solis et Lunae, Constantio Caesari fratri meo salutem plurimam dico etc.'

ib. XXI, 13, 4: apud Persas . . . silentii quoque colitur numen.

ib. XXIII, 6, 4 s.: certatim . . . summatum et vulgi sententiis concinentibus, astris, (ut ipsi existimant,) ritus sui consecratione, permixtus est (Arsaces) omnium primus. 5. unde ad id tempus reges eiusdem gentis praetumidi, appellari se patiuntur Solis fratres et Lunae.

ib. XXIII, 6, 32 s.: in his tractibus Magorum agri sunt fertiles, super quorum secta studiisque, quoniam huc incidimus, pauca conveniet expediri. magian opinionum insignium auctor amplissimus Plato, hagistiam esse verbo mystico docet, divinorum incorruptissimum cultum, cuius scientiae saeculis priscis multa ex Chaldaeorum arcanis Bactrianus addidit Zoroastres, deinde Hystaspes rex prudentissimus, Darei pater. 33. qui cum superioris Indiae secreta fidentius penetraret, ad nemorosam quandam venerat solitudinem, cuius tranquillis silentiis praecelsa Brachmanorum ingenia potiuntur, eorumque monitu, rati-

27 agri E (Vaticanus 7969) magistri H (Parisinus 5819) 28 magiam A(ccursius) machagistiam M(arburgensis) hagistiam Wagner 32 Zoroastres M - stes E 35 ⟨in⟩ cuius Cornelissen 36 otiantur Corn

ones mundani motus et siderum, purosque sacrorum ritus (quantum colligere potuit eruditus,) ex his quae didicit, aliqua sensibus magorum infudit, quae illi cum disciplinis praesentiendi futura, per suam quisque progeniem, posteris aetatibus tradunt. 34. ex eo per saecula multa ad praesens, una eademque prosapia, multitudo creata deorum cultibus dedicatur. feruntque (si iustum est credi,) etiam ignem caelitus lapsum, apud se sempiternis foculis custodiri, cuius portionem exiguam (ut faustam) praeisse quondam Asiaticis regibus dicunt. 35. huius originis apud veteres numerus erat exilis, eiusque ministeriis Persicae potestates in faciendis rebus divinis sollemniter utebantur. eratque piaculum aras adire, vel hostiam contrectare, antequam magus, conceptis precationibus, libamenta diffunderet praecursoria. verum aucti paulatim, in amplitudinem gentis solidae concesserunt et nomen, villasque inhabitantes, nulla murorum firmitudine communitas, et legibus suis uti permissi, religionis respectu sunt honorati. 36. ex hoc magorum semine septem post mortem Cambysis, regnum inisse Persidos, antiqui memorant libri, docentes eos Darei factione oppressos, imperitandi initium equino hinnitu sortiti.

ib. 76 s.: effusius plerique soluti in venerem, aegreque contenti multitudine pelicum, puerilium stuprorum expertes, pro opibus quisque adsciscens matrimonia plura vel pauca. unde apud eos per libidines varias caritas dispersa torpescit. munditias conviviorum et luxum, maximeque potandi aviditatem vitantes, ut luem. 77. nec apud eos extra regales mensas hora est praestituta prandendi, sed venter uni cuique velut solarium est, eoque monente quod inciderit editur, nec quisquam post satietatem, superfluos sibi ingerit cibos.

ib. 79: super his nec stando mingens nec ad requisita naturae secedens, facile visitur Persa: ita observantius haec aliaque pudenda declinant.

ib. 80: nec ministranti apud eos famulo mensaeque adstanti, hiscere vel loqui licet vel spuere: ita praestrictis pellibus labra omnium vinciuntur.

10 ordinis Kellerbauer 11 mysteriis b (Erasmus) (mi-B [Castellus]) 17 permissi A Gelenius permissis EB (-misis M) 20 docentes E notantes Bentley vocantes W (Venetus Marcianus 388) corr. vocentes M 22 soliti solvi b solvi B 36 praestrictis Haupt prostrati B perforatis Madvig praestratis Heraeus

Basilius
(c. 330—379 vixit)

ep. (Migne, PG XXXII) 258 ad Epiphan. 4: τὸ . . . τῶν Μαγουσαίων ἔθνος . . . πολύ ἐστι παρ' ἡμῖν κατὰ πᾶσαν σχεδὸν τὴν χώραν διεσπαρμένον, ἀποίκων τὸ παλαιὸν ἐκ τῆς Βαβυλωνίας ἡμῖν ἐπεισαχθέντων. οἳ ἔθεσιν ἰδιάζουσι κέχρηνται, ἄμικτοι ὄντες πρὸς τοὺς ἄλλους ἀνθρώπους· λόγῳ δὲ πρὸς αὐτοὺς κεχρῆσθαι, καθό εἰσιν ἐζωγρημένοι ὑπὸ τοῦ διαβόλου εἰς τὸ ἐκείνου θέλημα, παντελῶς ἐστιν ἀδύνατον. οὔτε γὰρ βιβλία ἔστι παρ' αὐτοῖς, οὔτε διδάσκαλοι δογμάτων, ἀλλὰ ἔθει ἀλόγῳ συντρέφονται, παῖς παρὰ πατρὸς διαδεχόμενοι τὴν ἀσέβειαν. ἐκτὸς δὴ τούτων, ἃ ὑπὸ πάντων ὁρᾶται, τὴν ζωοθυσίαν παραιτοῦνται ὡς μίασμα, δι' ἀλλοτρίων χειρῶν τὰ πρὸς τὴν χρείαν ζῶα κατασφάττοντες· γάμοις ἐπιμαίνονται παρανόμοις· καὶ τὸ πῦρ ἡγοῦνται θεόν· καὶ εἴ τι τοιοῦτο. τὰς δὲ ἐκ τοῦ Ἀβραὰμ γενεαλογίας οὐδεὶς ἡμῖν μέχρι τοῦ παρόντος τῶν μάγων ἐμυθολόγησεν· ἀλλὰ Ζαρνουάν τινα ἑαυτοῖς ἀρχηγὸν τοῦ γένους ἐπιφημίζουσι.

Gregorius Nazianzenus
(390 mortuus est)

or. (Migne, PG XXXVI) 39, 5: ποῦ . . . θήσεις τὴν Πέλοπος κρεουργίαν, πεινῶντας θεοὺς ἑστιῶσαν, καὶ φιλοξενίαν πικρὰν καὶ ἀπάνθρωπον; ποῦ δὲ Ἑκάτης τὰ φοβερὰ καὶ σκοτεινὰ φάσματα, καὶ Τροφωνίου κατὰ γῆς παίγνια καὶ μαντεύματα, ἢ Δωδωναίας δρυὸς ληρήματα, ἢ τρίποδος Δελφικοῦ σοφίσματα, ἢ Κασταλίας μαντικὸν πόμα; τοῦτο μόνον οὐ μαντευσάμενα, τὴν ἑαυτῶν σιωπήν. οὐδὲ Μάγων θυτική, καὶ πρόγνωσις ἔντομος· καὶ Χαλδαίων ἀστρονομία καὶ γενεθλιαλογία κτλ.

Ambrosius
(397 mortuus est)

ep. (Migne, PL XVI) I, 18, 30: unde . . . semper invisa Romanis non aequae Carthaginis numina? quam Coelestem Afri, Mithram Persae, plerique Venerem colunt, pro diversitate nominis, non pro nominis varietate.

Epiphanius
(403 mortuus est)

panar. haer. (ed. Holl) 3, 2 s.: Νεβρώδ . . . φασι παῖδες Ἑλλήνων εἶναι τὸν Ζωροάστρην, ὃς πρόσω χω-

31 Νεβρώθ U(rbinas)

ρήσας ἐπὶ τὰ ἀνατολικὰ μέρη οἰκιστὴς γίνεται Βάκτρων. ἐντεῦθεν τὰ κατὰ τὴν γῆν παράνομα διανενέμηται· ἐφευρετὴς γὰρ οὗτος γεγένηται κακῆς διδαχῆς, ἀστρολογίας καὶ μαγείας, ὥς τινές φασι περὶ τούτου τοῦ Ζωροάστρου· πλήν, ὡς ἡ ἀκρίβεια περιέχει, τοῦ Νεβρὼδ τοῦ γίγαντος οὗτος ἦν ὁ χρόνος, πολὺ δὲ ἀλλήλων τῷ χρόνῳ διεστήκασιν ἄμφω, ὅ τε Νεβρὼδ καὶ ὁ Ζωροάστρης.

ib. (Migne, PG XXXXI) 42: καὶ γὰρ ὁ χαρακτὴρ αὐτοῦ (sc. Παύλου) σημαίνει αὐτὸν ὑπάρχειν ἐν προπαιδείᾳ, οὗ οὐκ ἠδυνήθησαν Ἐπικούρειοι καὶ Στωϊκοὶ ἀντιστῆναι, ἀνατρεπόμενοι διὰ τῆς λογίως παρ' αὐτῷ ἀναγνωσθείσης τοῦ βωμοῦ ἐπιγραφῆς τῆς ἐπιγεγραμμένης τῷ θεῷ ἀγνώστως . . . καὶ πάλιν φήσαντος· Εἶπέ τις ἴδιος αὐτῶν προφήτης·

Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί·

ἵνα τὸν Ἐπιμενίδην δείξῃ, ἀρχαῖον ὄντα φιλόσοφον, καὶ Μίθρα τοῦ παρὰ Κρησὶν εἰδώλου.

exp. fid. (Migne, PG XXXXII) 12: ἑτέρων . . . πάλιν μυστηρίων πολλῶν, καὶ αἱρεσιαρχῶν, σχισματοποιῶν, ὧν μὲν ἀρχηγοὶ παρὰ Πέρσαις Μαγουσαῖοι.

ib. 13: . . . παρὰ Πέρσαις Μαγουσαῖοι καλούμενοι, οἱ εἴδωλα μὲν βδελυττόμενοι, εἰδώλοις δὲ προσκυνοῦντες, πυρὶ καὶ σελήνῃ καὶ ἡλίῳ.

Orosius

(post 418 mortuus est)

hist. adv. pagan. (rec. Zangemeister) I, 4, 1: anno ante urbem conditam MCCC Ninus rex Assyriorum 'primus' ut ipsi volunt propagandae dominationis libidine arma foras extulit.

ib. 3: novissime Zoroastrem Bactrianorum regem eundemque magicae ut ferunt artis repertorem pugna oppressum interfecit.

Hieronymus

(c. 348—420 vixit)

comment. in Amos (Migne, P L XXV) III, 9 s.: Basilides, qui omnipotentem Deum portentoso nomine appellat Ἀβράξας, et eumdem secundum Graecas litteras, et annui

3 διαδοχῆς G(enuensis) M(arcianus) διακονίας Chron. pasch.
6 ante πολὺ οὐ add. GU Ἑλλήνων M. 13 forte ἀγνώστῳ
17 Μίθρα] Διὸς ἱερέα Cumont

cursus numerum dicit in solis circulo contineri, quem ethnici sub eodem numero aliarum litterarum vocant Μείθραν.

adv. Jovin. (Migne, PL XXIII) II, 7: Persae, Medi, Indi, et Aethiopes, regna non modica, et Romano regno paria, cum matribus et aviis, cum filiabus et neptibus copulantur.

ib. 14: Eubulus . . ., qui historiam Mithrae multis voluminibus explicuit, narrat apud Persas tria genera magorum, quorum primos, qui sint doctissimi et eloquentissimi, excepta farina et olere, nihil amplius in cibo sumere.

Augustinus
(354—430 vixit)

de civitate Dei (ed. Dombart) XXI, 14: solum, quando natus est, ferunt risisse Zoroastrem, nec ei boni aliquid monstrosus risus ille portendit. nam magicarum artium fuisse perhibetur inventor; quae quidem illi nec ad praesentis vitae vanam felicitatem contra suos inimicos prodesse potuerunt; a Nino quippe rege Assyriorum, cum esset ipse Bactrianorum, bello superatus est.

Theodorus Mopsvestensis
(c. 360—428 vixit)

vid. sub Photio.

Claudianus
(c. 370—404 vixit)

de consul. Stil. (Mon. Germ. hist., auct. antiqu. X) I, 58 s.:

Turis odoratae cumulis et messe Sabaea
Pacem conciliant arae; penetralibus ignem
Sacratum rapuere adytis rituque iuvencos
Chaldaeo stravere magi. Rex ipse micantem
Inclinat dextra pateram secretaque Beli
Et vaga testatur volventem sidera Mithram.

22 statuere B (Neapolitanus Farnesianus IV E 47) 23 Beli Scaliger Sirmondus belli Em ω (codicum consensus) celi add. B[1] (exerpta Florentina margini editionis Vicentinae adscripta)

Nonnus Panopolitanus

(inter 381/90 et Agathiam vixit)

Dionys. (ed. Köchly) XXI, 246 s.:

ἢν ἐθέλῃς πόδα κάμψον ὁμούριον εἰς χθόνα Μήδων ...
δείξω Βάκτριον οὖδας, ὅπου θεὸς ἔπλετο Μίθρης,
Ἀσσύριος Φαέθων ἐνὶ Περσίδι· Δηριάδης γὰρ
οὐ μάθεν οὐρανίων μακάρων γένος, οὐδὲ γεραίρει
Ἠέλιον καὶ Ζῆνα καὶ εὐφαέων χορὸν ἄστρων . . .
οὐ μακάρων ἀλέγω τεκέων Διός.

ib. XL, 369 s.:

ἀστροχίτων Ἥρακλες, ἄναξ πυρός, ὄρχαμε κόσμου . . .
εἰ Κρόνος, εἰ Φαέθων, πολυώνυμος εἴτε σὺ Μίθρης
Ἠέλιος Βαβυλῶνος . . .

Hesychius

(saec. 5. vixit)

lex. (ed. Schmidt):

μάγον· τὸν ἀπατεῶνα. φαρμακευτήν. τὸν θεοσεβῆ, καὶ θεολόγον, καὶ ἱερέα, οἱ Πέρσαι οὕτως λέγουσιν.

μίθρας· ὁ ἥλιος, παρὰ Πέρσαις Μίθρης· ὁ πρῶτος ἐν Πέρσαις θεός.

Cyrillus Alexandrinus

(444 mortuus est)

c. Julian. (Migne, PG LXXVI) III, 87: μέμνηται τούτου (sc. τοῦ μάγου) καὶ ὁ σοφώτατος Κλήμης ἐν τοῖς Στρωματεῦσι λέγων· Ζωροάστρην κτλ. (vid. supra p. 68).

ib. IV, 133: ἱστορεῖ . . . Ἀλέξανδρος ὁ ἐπίκλην Πολυίστωρ ἐν τῷ Περὶ Πυθαγορικῶν συμβόλων, Ἀσσυρίῳ τὸ γένος ὄντι τῷ Ζάρᾳ φοιτῆσαι τὸν Πυθαγόραν.

Socrates

(439—450 opus finivit)

eccl. hist. (ed. Hussey) VII, 8, 3 s.: χρεία . . . . ἤγαγεν, ὥστε Μαρουθᾶν τὸν Μεσοποταμίας ἐπίσκοπον . . . . πεμφθῆναι παρὰ τοῦ βασιλέως Ῥωμαίων πρὸς τὸν βασιλέα Περσῶν. 4. ὁ δὲ βασιλεὺς τῶν Περσῶν πολλὴν εὐλάβειαν παρὰ τῷ ἀνδρὶ εὑρηκώς, διὰ τιμῆς ἦγεν αὐτόν, καὶ ὡς ὄντως θεοφιλεῖ προσεῖχεν. 5. τοῦτο γινόμενον ὑπέκνιζε τοὺς μάγους, οἳ πολὺ παρὰ τῷ Περσῶν βασιλεῖ ἰσχύουσιν· ἐδεδοίκεισαν γάρ, μὴ τὸν βασιλέα χριστιανίζειν πείσῃ. 6.

4 γένος Köchly χορὸν vulgo 26 πολὺ F(lorentinus) C(astellani episcopi) πολλοὶ editt

καὶ γὰρ κεφαλαλγίαν αὐτοῦ χρονίαν, ἣν οἱ μάγοι θεραπεῦσαι μὴ δεδύνηνται, ταύτην ὁ Μαρουθᾶς εὐχαῖς ἐθεράπευσε. 7. βουλεύονται οὖν ἀπάτην οἱ μάγοι· καὶ ἐπειδὴ οἱ Πέρσαι τὸ πῦρ σέβουσιν, εἰώθει δὲ ὁ βασιλεὺς ἐν οἴκῳ τινὶ τὸ διηνεκῶς καιόμενον πῦρ προσκυνεῖν, ὑπὸ γῆν κατακρύψαντες ἄνθρωπον, καθ' ὃν εἰώθει καιρὸν ὁ βασιλεὺς εὔχεσθαι, παρεσκεύασαν ἀναφθέγγεσθαι, ἔξω βάλλεσθαι δεῖν τὸν βασιλέα, ἠσεβηκέναι γάρ, ὅτι τὸν τῶν Χριστιανῶν ἱερέα νομίζει θεοφιλῆ. 8. ταῦτα ἀκούσας ὁ Ἰσδιγέρδης, τοῦτο γὰρ ὄνομα τῷ Περσῶν βασιλεῖ, αἰδούμενος μὲν. ἀποπέμπεσθαι δ' οὖν ὅμως τὸν Μαρουθᾶν ἐβούλετο. 9. Μαρουθᾶς δὲ ἀληθῶς θεοφιλὴς ἄνθρωπος εὐχαῖς προσέκειτο. δι' ὧν εὑρίσκει τὸν παρὰ τῶν μάγων γενόμενον δόλον. 10. τῷ οὖν βασιλεῖ, μὴ παίζου, ἔφη, βασιλεῦ· ἀλλ' εἰσελθὼν ὅτε τῆς φωνῆς ἀκούσεις ὀρύξας τὸν δόλον εὑρήσεις· οὐ γὰρ τὸ πῦρ φθέγγεται, ἀλλὰ ἀνθρώπων κατασκευὴ τοῦτο ποιεῖ. 11. πείθεται τῷ Μαρουθᾷ ὁ Περσῶν βασιλεύς, καὶ αὖθις εἰσήει εἰς τὸν οἰκίσκον, ὅπου ἦν τὸ ἄσβεστον πῦρ. 12. ἐπεὶ δὲ αὖθις ἀκούει τῆς αὐτῆς φωνῆς, ὀρύττεσθαι τὸν τόπον ἐκέλευσε· καὶ ὁ προπέμπων τὴν νομισθεῖσαν θεοῦ φωνήν, ἐξηλέγχετο. 13. περιοργὴς οὖν γενόμενος ὁ βασιλεὺς τὸ τῶν μάγων γένος ἀπεδεκάτωσε· τούτου γενομένου, εἶπεν τῷ Μαρουθᾷ, ἔνθα ἂν βούλοιτο, κτίζειν ἐκκλησίας· ἐκ τούτου παρὰ Πέρσαις ὁ Χριστιανισμὸς ἐπλατύνετο. 14. τότε μὲν οὖν Μαρουθᾶς ἀποχωρήσας τῶν Περσῶν, αὖθις ἐπὶ τὴν Κωνσταντινούπολιν ἐπανέρχεται· οὐκ εἰς μακρὰν δὲ πάλιν πρεσβείας ἕνεκεν ἀντεπέμπετο. 15. αὖθίς τε οἱ μάγοι σκευωρίας ἐπενοοῦντο, ὅπως ἂν μηδαμῶς τὸν ἄνδρα προσδέχοιτο ὁ βασιλεύς· ἐπενόησάν τε δυσωδίαν τινὰ κατασκευαστὴν, ὅθεν ὁ βασιλεὺς εἰώθει προσέρχεσθαι· διαβολῇ τε ἐχρῶντο, ὡς ἄρα ταύτην οἱ τῷ Χριστιανισμῷ συνόντες εἰργάσαντο. 16. ὡς δὲ ὁ βασιλεὺς ἤδη πρότερον ὑπόπτους ἔχων τοὺς μάγους, σπουδαιότερον ἀνεζήτει τοὺς δράσαντας, αὖθις ἐξ αὐτῶν ἀνηυρίσκοντο οἱ τῆς κακῆς ὀδμῆς ποιηταί. 17. διὸ καὶ αὖθις πολλοὺς αὐτῶν ἐτιμωρήσατο.

Sozomenus

(eodem tempore scripsit)

eccl. hist. (ed. Hussey) II, 9, 1 s.: ἐπεὶ . . . τῷ χρόνῳ πλεῖστοι ἐγένοντο (οἱ χριστιανίσαντες Πέρσαι), καὶ ἐκκλησιάζειν ἤρξαντο, καὶ ἱερέας καὶ διακόνους εἶχον, ἐ-

39 καὶ ἱερατικὸν B(aroccianus 142) καὶ tacite om. Valesius

λύπει τοῦτο οὐ μετρίως τοὺς Μάγους, οἳ τὴν Περσῶν θρησκείαν ὥσπερ τι φῦλον ἱερατικὸν, κατὰ διαδοχὴν γένους ἀρχῆθεν ἐπιτροπεύουσιν. ἐλύπει δὲ καὶ Ἰουδαίους, τρόπον τινὰ φύσει ὑπὸ βασκανίας πρὸς τὸ δόγμα τῶν Χριστιανῶν ἐκπεπολεμωμένους. καὶ διαβάλλουσι πρὸς Σαβώρην τὸν τότε βασιλέα, Συμεώνην τὸν τότε ἀρχιεπίσκοπον Σελευκείας καὶ Κτησιφῶντος, ... ὡς φίλον ὄντα τῷ Καίσαρι Ῥωμαίων, καὶ τὰ Περσῶν πράγματα τούτῳ καταμηνύοντα. 2. πεισθεὶς δὲ ταῖς διαβολαῖς ὁ Σαβώρης . . . . . προσέταξε . . . . Συμεώνην ἄγεσθαι, ὡς προδότην τῆς Περσῶν βασιλείας καὶ θρησκείας γεγενημένον 3. οἱ μὲν οὖν Μάγοι, συλλαμβανομένων αὐτοῖς τῶν Ἰουδαίων, σπουδῇ τοὺς εὐκτηρίους οἴκους καθεῖλον. Συμεώνης δὲ συλληφθεὶς, σιδηροδεσμώτης ὡς βασιλέα ἤχθη· ἔνθα δὴ γίνεται ἀνὴρ ἀγαθὸς καὶ ἀνδρεῖος. ἐπεὶ γὰρ βασανίσων αὐτὸν εἰσάγεσθαι προσέταξεν ὁ Σαβώρης, οὔτε ἔδεισεν, οὔτε προσεκύνησεν. 4 ἐφ' ᾧ σφόδρα χαλεπήνας ὁ βασιλεύς, ἐπύθετο, Τί δή ποτε νῦν οὐ προσεκύνησας, πρότερον τοῦτο ποιῶν; Ὅτι πρότερον, ἔφη ὁ Συμεώνης, οὐ δεσμώτης ἠγόμην ἐπὶ προδοσίᾳ τοῦ ἀληθοῦς Θεοῦ· καὶ μηδὲν διαφερόμενος, τὰ νενομισμένα περὶ τὴν βασιλείαν ἐπλήρουν· νῦν δέ μοι οὐ θέμις τοῦτο ποιεῖν· ἥκω γὰρ ἀγωνιούμενος ὑπὲρ τῆς εὐσεβείας καὶ τοῦ ἡμετέρου δόγματος. 5. τοιαῦτα εἰπόντα παρεκελεύσατο ὁ βασιλεὺς προσκυνῆσαι τὸν ἥλιον· καὶ πειθομένῳ μὲν πολλὰ δῶρα δώσειν ὑπισχνεῖτο, καὶ ἐν τιμῇ ἕξειν· ἀπειθοῦντα δὲ, ἀπολέσειν ἠπείλησεν αὐτόν τε καὶ πᾶν τῶν Χριστιανῶν φῦλον. ἐπεὶ δὲ οὔτε ταῖς ἀπειλαῖς κατεκτύπει τὸν Συμεώνην, οὔτε ταῖς ἐπαγγελίαις ἐχάλαζεν, ἀλλ' ἀνδρεῖος ἔμενεν, ἰσχυριζόμενος μή ποτε προσκυνήσειν τὸν ἥλιον, μηδὲ προδότης φανήσεσθαι τῆς αὐτοῦ θρησκείας, προσέταξεν αὐτὸν τέως ἐν δεσμοῖς εἶναι, λογισάμενος, ὡς εἰκὸς, μεταμεληθήσεσθαι. 6. ἀπαγόμενον δὲ εἰς τὸ δεσμωτήριον ἰδὼν Οὐσθαζάνης πρεσβύτης τις εὐνοῦχος, τροφεὺς Σαβώρου, καὶ μείζων τῆς βασιλέως οἰκίας, προσεκύνησεν αὐτὸν ἀναστάς· ἔτυχε γὰρ πρὸ τῶν βασιλείων θυρῶν καθήμενος. ὁ δὲ Συμεώνης ὑβριστικῶς ἐπετίμησεν αὐτῷ, καὶ θυμωθεὶς ἀνεβόησε, καὶ ἀποστραφεὶς παρήμειψε· Χριστιανὸς γὰρ ὢν οὐ προπολλοῦ ἐβιάσθη προσκυνῆσαι τὸν ἥλιον. 7. αὐτίκα δὲ δακρύσας μετ' οἰμωγῆς ὁ εὐνοῦχος, ἣν μὲν ἠμφίεστο λαμπρὰν ἐσθῆτα ἀπέθετο· οἷα δὲ πενθῶν μέλαιναν περιβαλλόμενος, πρὸ τῆς βασιλέως οἰκίας ἐκαθέζετο, κλαίων καὶ στένων, Οἴμοι

33 Οὐσθαζάρης B quanquam prius. Οὐσθαζάνης habet Οὐσθαζάδης Hussey rectiorem formam esse credit.

ἐγώ, λέγων, οἷον χρὴ προσδοκᾶν εἶναι περὶ ἐμὲ ὃν ἠρνησάμην Θεόν; ὅπουγε τούτου χάριν ἐντεῦθεν ἤδη πάλαι μοι συνήθης γεγονὼς Συμεώνης, οὐδὲ λόγου μεταδούς, ὧδέ με ἀπεστράφη καὶ παρέδραμεν. ἐπεὶ δὲ ἔγνω ταῦτα Σαβώρης, μετακαλεσάμενος αὐτόν, ἐπυνθάνετο τὴν αἰτίαν τοῦ πένθους, καὶ εἰ συμφορᾷ τινι περὶ τὸν οἶκον ἐχρήσατο. 8. ὑπολαβὼν δὲ Οὐσθαζάνης εἶπεν, Ὦ βασιλεῦ, οὐδὲν περὶ τὸν ἐνθάδε οἶκον ἠτύχησα· εἴθε γὰρ ἀντὶ τοῦ συμβεβηκότος μοι παντοδαπαῖς ἀλλοίαις περιπέπτωκα συμφοραῖς, καὶ ῥᾷον ἦν. πενθῶ δὲ νῦν, ὅτι ζῶ· καὶ πάλαι τεθνάναι ὀφείλων, ὁρῶ τὸν ἥλιον, ὃν σοὶ χαριζόμενος, οὐκ ἀπὸ γνώμης, προσεκύνησα τῷ δοκεῖν κτλ.

ib. 10, 1 s.: Συμεώνης δὲ . . . προαχθεὶς . . . αὖθις ἐκ τοῦ δεσμωτηρίου εἰς τὰ βασίλεια, γενναίως μάλα διελέχθη Σαβώρῃ περὶ τοῦ δόγματος, καὶ οὔτε αὐτόν, οὔτε τὸν ἥλιον προσκυνῆσαι ἠνέσχετο. 2. κατὰ δὲ τὴν αὐτὴν ἡμέραν, ὁμοίως ἀναιρεθῆναι προσετάχθησαν καὶ ἄλλοι ἑκατὸν ἐν τῷ δεσμωτηρίῳ ὄντες· τελευταῖον δὲ αὐτοῖς ἐπισφαγῆναι Συμεώνην, τὸν πάντων θάνατον θεασάμενον. . . . 3. ὡς δὲ πάντες τὴν ἐπὶ θανάτῳ ἤγοντο, παραγενόμενος ὁ μέγας ἀρχιμάγος, ἤρετο αὐτοὺς εἰ βούλοιντο ζῆν, καὶ βασιλεῖ παραπλησίως θρησκεύειν, καὶ τὸν ἥλιον σέβειν. οὐδενὸς δὲ τὴν ἐπὶ τούτοις ζωὴν ἑλομένου, ὡς εἰς τὸν τόπον ἤχθησαν οὗ κτείνεσθαι ἔμελλον, οἱ . . . δήμιοι ἔργου εἴχοντο.

ib. 12, 1 s.: κατ' ἐκεῖνο δὲ καιροῦ, νόσῳ περιπεσούσης τῆς βασιλίδος, συλλαμβάνεται ἡ Συμεώνου τοῦ ἐπισκόπου ἀδελφή. Ταρβούλα τοὔνομα, ἱερὰ παρθένος, σὺν θεραπαίνῃ τὸν αὐτὸν μετιούσῃ βίον, καὶ ἀδελφῇ μετὰ θάνατον ἀνδρὸς γάμον ἀπαγορευσάσῃ, καὶ ὁμοίως ἀγομένῃ. ἐγένετο δὲ αὐτῶν ἡ σύλληψις ἐκ διαβολῆς τῶν Ἰουδαίων, ἐπαιτιωμένων ὡς φαρμάκοις τῇ κρατούσῃ ἐπεβούλευσαν, διὰ τὸν Συμεώνου θάνατον μηνιῶσαι. 2. . . . παραλαβόντες δὲ οἱ Μάγοι Ταρβούλαν καὶ τὰς λοιπὰς καταδικάζουσιν αὐτῶν θάνατον· καὶ πρίονι διχῇ τεμόντες, ἀνεσκολόπισαν, καὶ ὡς ἀποτρόπαιον νόσου, διὰ μέσου τῶν σκολόπων τὴν βασιλίδα παρελθεῖν ἐποίησαν. 3. λέγεται δὲ Ταρβούλαν ταύτην εὐπρεπῆ καὶ μάλα καλὴν τὸ εἶδος γενέσθαι· ἐρασθῆναι δὲ αὐτῆς τινὰ τῶν Μάγων, καὶ περὶ τῆς συνουσίας λάθρα προσπέμψασθαι, μισθὸν ἐπαγγειλάμενον, εἰ πεισθείη, σωτηρίαν αὐτῇ καὶ ταῖς συνούσαις. τὴν δὲ μήτε ἀσελγοῦς ἀκοῆς ἀνασχομένην, ἐξυβρίσαι μὲν αὐτοῖς καὶ ἀκολασίαν ὀνειδίσαι· προθυμότατα δὲ μᾶλλον ἑλέσθαι ἀποθανεῖν, ἢ

39 προσπέμψασθαι C(astellani episcopi) προπέμψ. cett libb

τὴν παρθενίαν παραδοῦναι. 4. κρατήσαντος δὲ κατὰ τὴν Σαβώρου πρόσταξιν, ὡς ἐν τοῖς πρόσθεν εἴρηται, τοὺς ἄλλους ἐᾶν, μόνους δὲ συλλαμβάνεσθαι τοὺς ἱερέας καὶ τοὺς ὑφηγητὰς τοῦ δόγματος, περιϊόντες Μάγοι τε καὶ ἀρχιμάγοι ἀνὰ τὴν Περσῶν γῆν, ἐπιμελῶς ἐκακούργουν τοὺς ἐπισκόπους καὶ πρεσβυτέρους, μάλιστα δὲ κατὰ τὴν Ἀδιαβηνῶν χώραν.

Theodoretus

(c. 393 — c. 457 vixit)

eccl. hist. (ed. Parmentier) V, 39, 1: κατὰ τοῦτον τὸν χρόνον Ἰσδιγέρδης ὁ Περσῶν βασιλεὺς τὸν κατὰ τῶν ἐκκλησιῶν ἐκίνησε πόλεμον, πρόφασιν ἐνθένδε λαβών. Ἄβδας τις ἐπίσκοπος ἦν . . . οὗτος . . . πυρεῖον κατέλυσε. πυρεῖα δὲ καλοῦσιν ἐκεῖνοι τοῦ πυρὸς τοὺς νεώς· θεὸν γὰρ τὸ πῦρ ὑπειλήφασι.

ib. 5. μάγους δὲ καλοῦσιν οἱ Πέρσαι τοὺς τὰ στοιχεῖα θεοποιοῦντας· τὴν δὲ τούτων μυθολογίαν ἐν ἑτέρῳ συγγράμματι δεδηλώκαμεν, ἐν ᾧ τὴν λύσιν ταῖς τούτων ψεύσεσι προσηνέγκαμεν.

graec. affect. cur. (ed. Raeder), sermo 9, 32 s.: τὰ παρὰ Περσῶν νῦν τολμώμενα καταμάθετε . . . 33. τοῖς μὲν ἄλλοις αὐτῶν νόμοις ἅπαντας ὑποκύπτειν τοὺς ὑπηκόους καταναγκάζουσι, τοὺς δὲ τῶν ἁλιέων ἐξαρνηθῆναι τοὺς πεπιστευκότας οὐ πείθουσιν· ἀλλὰ κατὰ τοὺς Ζαράδου πάλαι Πέρσαι πολιτευόμενοι νόμους καὶ μητράσι καὶ ἀδελφαῖς ἀδεῶς καὶ μέντοι καὶ θυγατράσι μιγνύμενοι καὶ νόμον ἔννομον τὴν παρανομίαν νομίζοντες, ἐπειδὴ τῆς τῶν ἁλιέων νομοθεσίας ἐπήκουσαν, τοὺς μὲν Ζαράδου νόμους ὡς παρανομίαν ἐπάτησαν, τὴν εὐαγγελικὴν δὲ σωφροσύνην ἠγάπησαν· καὶ κυσὶ καὶ οἰωνοῖς τοὺς νεκροὺς προτιθέναι παρ' ἐκείνου μεμαθηκότες, νῦν τοῦτο δρᾶν οἱ πιστεύσαντες οὐκ ἀνέχονται.

Priscus

(408—450 vixit)

hist. Byzant. (Dindorf, historici graeci minores), fr. 31: ἀφίκετο (πρεσβεία) . . . παρὰ τοῦ Περσῶν μονάρχου, τῶν

7 Ἀδιαβ. C Διαβηνῶν cett libb 9 τὸν — πόλεμον om. V(aticanus 628) 11 Ἄβδας G (Angelicus Rom. 41) A (Bodleianus auct. E II 14) L(aurentianus X 18) ἀβδᾶς V N (Cod. 211 monasterii Vatopaedi) S(corialensis X III 14) Nicephorus ἀβδάς B(odleianus auct. E 4, 18) ἀβδαᾶς Theophanes 18 τελούμενα in τολμούμενα corr. B(odleianus auct. E II, 14) 24 νόμον om. B

τε παρ' αὐτοὺς καταφευγόντων ἐκ τοῦ σφετέρου ἔθνους αἰτίαν ἔχουσα καὶ τῶν Μάγων τῶν ἐν τῇ Ῥωμαίων γῇ ἐκ παλαιῶν οἰκούντων χρόνων, ὡς ἀπάγειν αὐτοὺς τῶν πατρίων θεῶν καὶ νόμων ἐθέλοντες καὶ τῆς περὶ τὸ θεῖον ἁγιστείας παρενοχλοῦσί τε ἐς ἀεὶ καὶ ἀνακαίεσθαι κατὰ τὸν θεσμὸν οὐ συγχωροῦσι τὸ παρ' αὐτοῖς ἄσβεστον καλούμενον πῦρ.

Proclus

(412—485 vixit)

paraphr. in Ptol. libr. IV de sid. effect. (ed. Allatius) II, 3: τὰ . . . μέρη, ἃ περιέχει Ἰνδικήν τε καὶ Ἀῤῥιανήν, καὶ Γεδρωσίαν, καὶ Παρθίαν, καὶ Μηδείαν, Περσίδα, Βαβυλωνίαν, Μεσοποταμίαν, Ἀσσυρίαν, ὡς κείμενα πρὸς νοταπηλιώτην τῆς ὅλης οἰκουμένης, εἰκότως συνοικειοῦνται τῷ νοταπηλιωτικῷ τριγώνῳ . . . διότι καὶ τὰς φύσεις ἔχουσιν ἀκολουθούσας πρὸς τὴν κυριότητα τῶν οἰκοδεσποτούντων καὶ σέβουσι μὲν τὸν τῆς Ἀφροδίτης, Ἶσιν αὐτὴν ὀνομάζοντες, σέβουσι δὲ καὶ τὸν τοῦ Κρόνου Μίθρανήλιον προσαγορεύοντες.

in Plat. rem publ. comm. (ed. Kroll) II p. 109 s.: τὰς περὶ τὸν τόπον τοῦτον τῶν πρὸ ἡμῶν διαφορὰς καὶ παντοίας διαστροφὰς θαυμάσειεν ἄν τις. ὧν ο[ἱ μὲν οὐ] τὸν Ἠρά φασιν εἶναι τὸν πατέρα τοῦ μύθου τοῦδε παντός, ἀλλὰ Ζωροάστρην, καὶ ὡς τοῦδε τοῦ ὀνόματος ἐγκειμένου τὴν γραφὴν ἐκδεδώκασιν, ὥσπερ καὶ ὁ Ἐπικούρειος Κωλώτης, . . . καὶ αὐτὸς ἐνέτυχον Ζωροάστρου βιβλίοις τέτρασι Περὶ φύσεως, ὧν τὸ προοίμιόν ἐστι· Ζωροάστρης ὁ Ἀρμενίου Πάμφυλος τάδε λέγει, ὅσα τε ἐν πολέμῳ τελευτήσας παρὰ θεῶν ἐδάη καὶ ὅσα ἐκ τῆς ἄλλης ἱστορίας. ἐν δὲ μέσοις αὐτοῖς πρὸς Κῦρον προσφωνῶν δῆλός ἐστι τὸν βασιλέα· τίνα δὲ τὸν Κῦρον, οὐ διασαφεῖ. . . . ἄδηλον εἰ . . . Ζωροάστρης ἀντὶ τοῦ Ἠρὸς ἐγέγραπτο ἐν τοῖς ἀντιγράφοις . . . οἱ δὲ τὸν Ἤρα μὲν ὁμολογοῦσιν γεγράφθαι καὶ Ζωροάστρου γενέσθαι τοῦτον διδάσκαλον, ὥσπερ Κρόνιος, τὸν Πάμφυλον τὸ γένος τινὰ τρόπον τῷ Ζωροάστρῃ συνείροντες.

15 Μιθρανήλιον] Cumont: je pense qu'il y a une lacune après Κρόνου, et je lisais ⟨Βῆλον αὐτὸν ὥσπερ καὶ⟩ Μίθραν ἥλιον. Il est vrai qu'on peut attribuer toutes les bévues à celui qui fait d'Isis une divinité de la Perse. 18 ὧν — οὐ] οὔτε γὰρ H(olstenius)[a] οἱ μὲν οὐ H[b] Morus

Damascius

(c. 453 — post 533 vixit)

dubitat. et solut. (ed. Ruelle) 125 bis: Μάγοι . . . καὶ πᾶν τὸ ἄρειον γένος, ὥς καὶ τοῦτο γράφει ὁ Εὔδημος, οἱ μὲν Τόπον, οἱ δὲ Χρόνον καλοῦσι τὸ νοητὸν ἅπαν καὶ τὸ ἡνωμένον, ἐξ οὗ διακριθῆναι ἢ θεὸν ἀγαθὸν καὶ δαίμονα κακόν, ἢ φῶς καὶ σκότος πρὸ τούτων, ὡς ἐνίους λέγειν. οὗτοι δὲ οὖν καὶ αὐτοὶ μετὰ τὴν ἀδιάκριτον φύσιν διακρινομένην ποιοῦσι τὴν διττὴν συστοιχίαν τῶν κρειττόνων, τῆς μὲν ἡγεῖσθαι τὸν Ὠρομάσδη, τῆς δὲ τὸν Ἀρειμάνιον.

Procopius Gazaeus

(c. 465—ante 528 vixit)

comm. in gen. (Migne, PG LXXXVII, 1), c. 11: τὸν Ἀσσοὺρ, φασὶν οἱ Ἕλληνες εἶναι τὸν Ζωροάστρην, ὃς πρόσω χωρήσας ἐπὶ τὰ ἀνατολικὰ μέρη, οἰκιστὴς γίνεται Βάκτρων· οὗτος, φασὶν, ἐξεῦρεν ἀστρολογίαν· πλὴν ὡς ἡ ἀκρίβεια τοῦ Νεβρὼδ τοῦ γίγαντος περιέχει, οὗτος ἦν ὁ Κρόνος· οὐ πολὺ δὲ ἀλλήλων τῷ χρόνῳ διεστήκασι Νεβρώδ τε καὶ Ζωροάστρης.

Ioannes Lydus

(490 natus est)

de mens. (ed. Wuensch) 2, 4: ὅτι οἱ περὶ Ζωροάστρην καὶ Ὑστάσπην Χαλδαῖοι καὶ Αἰγύπτιοι ἀπὸ τοῦ ἀριθμοῦ τῶν πλανήτων ἐν ἑβδομάδι τὰς ἡμέρας ἀνέλαβον.

de ostent. (ed. Wachsmuth), prooem. 2. 4 B: τούτων (sc. Αἰγυπτίων) [. . . μετὰ] Ζωροάστρην τὸν πολὺν, Πετόσιρις τοῖς εἰδικοῖς τὰ [ἐν γένει διαπλέ]ξας πολλὰ μὲν κατ' αὐτὸν παραδοῦναι βιάζεται, οὐ πᾶ[σι δὲ παρα]δίδωσι ταῦτα κτλ.

Aeneas Gazaeus

(saec. 6. ineunte vixit)

Theophr. (ed. Boissonade) p. 72: ὁ . . . Ζωροάστρης προλέγει ὡς ἔσται ποτὲ χρόνος ἐν ᾧ πάντων νεκρῶν ἀνάστασις ἔσται. οἶδεν ὁ Θεόπομπος ὃ λέγω καὶ τοὺς ἄλλους αὐτὸς ἐκδιδάσκει.

4 τὸ om. Hyde ἐξ οὗ καὶ διακρ. Hy καὶ θεὸν] Hy 6 οὖν om. B (Parisinus 1989) F (Hamburgensis philos. 1) 7 συστοίχην Kopp 8 τὴν μὲν . . . τὴν δὲ Hy 9 Ὠρομάσθην E (Monacensis 5)

Scholia in Platonem
(paulo post 529 collecta sunt)

(ed. Hermann) in Alcib. I, 211 E: ἐπτέτεις] ἢ διὰ τὸ τὸν λόγον τότε ἄρχεσθαι τελειοῦσθαι, ἢ διὰ τὸ τὸν Ζωροάστρην ζ΄ γενόμενον ἐτῶν σιωπῆσαι, εἶτα μετὰ λ΄ χρόνους ἐξηγήσασθαι τῷ βασιλεῖ τῆς ὅλης φιλοσοφίας, ἢ ὡς τῷ Μίθρᾳ οἰκεῖον τὸν ζ΄ ἀριθμόν, ὃν διαφερόντως οἱ Πέρσαι σέβουσιν . . .

in eund. 122 A: Ζωροάστρης ἀρχαιότερος ἑξακισχιλίοις ἔτεσιν εἶναι λέγεται Πλάτωνος· ὃν οἱ μὲν Ἕλληνα, οἱ δὲ τῶν ἐκ τῆς ὑπὲρ τὴν μεγάλην θάλασσαν ἠπείρου ὡρμημένων [παῖδά] φασι, πᾶσάν τε σοφίαν παρὰ τοῦ ἀγαθοῦ δαίμονος ἐκμαθεῖν, τουτέστιν ἐπιτυχοῦς νοήματος· οὗ δὴ εἰς Ἑλληνικὴν φωνὴν μεταφραζόμενον τοὔνομα τὸν ἀστροθύτην δηλοῖ. τιμῆσαί τε αὐτὸν τὴν ἀνακεχωρηκυῖαν διαγωγὴν τῶν πολλῶν, καὶ δὴ τὴν τῶν ἐμψύχων ἀποχήν, συγγράμματά τε διάφορα καταλιπεῖν, ἐξ ὧν καὶ δείκνυσθαι τρία μέρη φιλοσοφίας εἶναι κατ' αὐτόν, φυσικόν, οἰκονομικόν, πολιτικόν.

in rem publ. 600 B: Πυθαγόρας . . . νέος . . . ὢν . . . διήκουσε . . . Ζάρατος τοῦ Μάγου.

Procopius Caesareensis
(post 562 mortuus est)

(ed. Haury), de bello pers. I, 3, 19 s.: οἱ . . . μάγοι ἀπεκρίναντο . . . 20. εἶναι . . . αὐτοῖς νόμον τὰς τοῦ ἡλίου ἀνατολὰς προσκυνεῖν ἡμέρᾳ ἑκάστῃ.

ib. 7, 18 s.: τινὲς ἑταῖραι ἀνελκύσασαι κόσμῳ οὐδενὶ τὴν ἐσθῆτα Καβάδῃ ἄγχιστά που ἑστηκότι ἐδείκνυον ὅσα τῶν γυναικῶν γυμνὰ φανῆναι ἀνδράσιν οὐ θέμις. 19. ὅπερ κατιδόντες οἱ μάγοι τῷ τε βασιλεῖ ἐς ὄψιν ἦλθον καὶ τὴν ἀναχώρησιν ἐκώλυον, ξυμβαλεῖν ἰσχυριζόμενοι τῷ γεγονότι ὡς ἅπαντα Καβάδῃ Ἀμιδηνοὶ τά τε ἀπόρρητα καὶ κρυπτόμενα οὐκ ἐς μακρὰν δείξουσιν.

ib. 11, 34 s.: ἔλεγον . . . οἱ κατήγοροι . . . 35. καινά τε . . αὐτὸν (sc. Σεόσην) δαιμόνια σέβειν καὶ τελευτήσασαν ἔναγχος τὴν γυναῖκα θάψαι, ἀπειρημένον τοῖς Περσῶν νόμοις γῇ κρύπτειν ποτὲ τὰ τῶν νεκρῶν σώματα.

ib. 12, 4: αὐτοὺς (sc. τοὺς Ἴβηρας, οἳ ἐν τῇ Ἀσίᾳ οἰκοῦσιν) ἤθελε Καβάδης ἐς τὰ νόμιμα τῆς αὐτοῦ δόξης βιάζεσθαι. καὶ αὐτῶν τῷ βασιλεῖ Γουργένῃ ἐπέστελλε τά

30 κενά P(arisinus 1702)

τε ἄλλα ποιεῖν ἢ Πέρσαι νομίζουσι καὶ τοὺς νεκροὺς τῇ γῇ ὡς ἥκιστα κρύπτειν, ἀλλ' ὄρνισί τε ῥίπτειν καὶ κυσὶν ἅπαντας.

ib. 17, 28: ἐνταῦθα (sc. ἐν Πέρσαις) . . . οὔτε δακτυλίῳ χρυσῷ οὔτε ζώνῃ οὔτε περόνῃ χρῆσθαι οὔτε ἄλλῳ ὁτῳοῦν θέμις, ὅτι μὴ ἐκ βασιλέως ἀξιωθέντι.

ib. II, 5, 9: ἐνταῦθα (sc. ἐν πόλει Σούρων) . . . τῷ ἵππῳ ξυνέβη, ἐφ' οὗ ὁ Χοσρόης ἐκάθητο, χρεμετίσαι τε καὶ τῷ ποδὶ τὸ ἔδαφος κρούειν. ὃ δὴ οἱ μάγοι ξυμβαλόντες ἁλώσεσθαι τὸ χωρίον ἀπέφαινον.

ib. 13, 9 s.: Ἐδέσσης . . . ἀγχοῦ γενόμενος (Χοσρόης) τῶν μάγων ἀνεπυνθάνετο εἴ οἱ ἁλώσιμος ἡ πόλις ἔσται, δείξας τῇ δεξιᾷ χειρὶ τὸ χωρίον αὐτοῖς. 10. οἱ δὲ αὐτῷ τὴν πόλιν ἁλώσεσθαι οὐδεμιᾷ μηχανῇ ἔλεγον, τεκμαιρόμενοι, ὅτι δὴ τὴν δεξιὰν αὐτῇ χεῖρα προτείνας, οὐχ ἁλώσεως ταύτῃ οὐδὲ ἄλλου ὁτουοῦν χαλεποῦ ξύμβολον, ἀλλὰ σωτηρίας διδοίη.

ib. 24, 1 s.: ἐτύγχανε . . . ὁ Χοσρόης ἐξ Ἀσσυρίων ἐς χωρίον Ἀδαρβιγάνων ἥκων πρὸς βορρᾶν ἄνεμον . . . 2. τὸ μέγα πυρεῖον ἐνταῦθά ἐστιν, ὃ σέβονται Πέρσαι θεῶν μάλιστα. οὗ δὴ τὸ πῦρ ἄσβεστον φυλάσσοντες μάγοι τά τε ἄλλα ἐς τὸ ἀκριβὲς ἐξοσιοῦνται καὶ μαντείῳ ἐς τῶν πραγμάτων τὰ μέγιστα χρῶνται.

Joannes Malalas
(sub Justiniano scripsit)

chronogr. (ed. Dindorf) II, p. 37 s.: ὁ . . . Περσεὺς . . . χειμῶνος . . . γενομένου, καὶ πλημμυρήσαντος πολὺ τοῦ παρακειμένου ποταμοῦ τῇ Ἰωνιτῶν πόλει τοῦ λεγομένου Δράκοντος, νυνὶ δὲ Ὀρόντου, ᾔτησε τοὺς Ἰωνίτας εὔξασθαι· καὶ ἐν τῷ εὔχεσθαι αὐτοὺς καὶ μυσταγωγεῖν κατηνέχθη σφαῖρα πυρὸς κεραυνοῦ ἐκ τοῦ οὐρανοῦ, ἥτις ἐποίησε παυθῆναι τὸν χειμῶνα καὶ τὰ τοῦ ποταμοῦ ἐπισχεθῆναι ῥεῖθρα. καὶ θαυμάσας ἐπὶ τῷ γεγονότι ὁ Περσεὺς ἐξ ἐκείνου τοῦ πυρὸς εὐθέως ἀνῆψε πῦρ, καὶ εἶχε φυλαττόμενον μεθ' ἑαυτοῦ· ὅπερ πῦρ ἐβάσταζεν ἐπὶ τὰ Περσικὰ μέρη εἰς τὰ ἴδια βασίλεια. καὶ ἐδίδαξεν αὐτοὺς τιμᾶν ἐκεῖνο τὸ πῦρ, ὅπερ ἔλεγεν αὐτοῖς ἑωρακέναι ἐκ τοῦ οὐρανοῦ κατενεχθέντα· ὅπερ πῦρ ἕως τοῦ παρόντος ἐν τιμῇ ἔχουσιν οἱ Πέρσαι, ὡς θεῖον. ὁ δὲ αὐτὸς Περσεὺς ἔκτισε τοῖς Ἰωνίταις ἱερόν, ὃ ἐπωνόμασε πυρὸς ἀθανάτου. ὁ-

18 Ἀδαρβιγάνων Dindorf Ἀρδαβιγάνων V(aticanus 152) ἀνδραμιγάνων G (Vaticanus 1001)

μοίως δὲ καὶ εἰς τὰ Περσικὰ ἔκτισεν ἱερὸν πυρός, καταστήσας ἐκεῖ διακονεῖν αὐτῷ εὐλαβεῖς ἄνδρας, οὕστινας ἐκάλεσε μάγους. ταῦτα δὲ Παυσανίας ὁ σοφώτατος χρονογράφος συνεγράψατο.

Cassiodorus

(c. 570 mortuus est)

hist. tripart. (Migne, P L LXIX) XI, 8: casus attulit ut Maruthas Mesopotamenus episcopus . . . a Romanorum imperatore ad Persarum destinaretur regem. qui multam reverentiam apud Marutham inveniens, eum decenter honorabat, et tanquam divinum respiciebat virum. hoc factum mordebat magos, metuentes ne regem Christianum fieri suaderet. nam cum dolore capitis multo tempore torqueretur, magis eum curare non valentibus, Maruthas orationibus fecit incolumem; ob hanc ergo causam moliti sunt quamdam magi fallaciam. et quoniam Persae ignem colunt, consuevitque rex in quadam domo ignem ardentem perpetuo suppliciter adorare, magi sub terra hominem quemdam abscondentes tempore quo rex solebat adorare, eum talia clamare fecerunt: mitte foras regem, impie enim egit, quia sacerdotem Christianorum judicat esse venerandum. haec audiens Isdigerdes Persarum rex, licet reverentiam haberet, tamen Marutham abjicere cogitabat. porro Maruthas vere Deo venerabilis homo, vacabat orationibus, per quas invenit dolum magicis artibus fabricatum. veniensque ad regem: noli, inquit, illudi, rex; sed ingressus dum audieris vocem, fodi jube, et doli causas invenies. non enim ignis loquitur, sed hominum molimina hujusmodi esse noscuntur. hoc dicto flexus est Persarum rex; et rursus ingressus ubi ignis inexstinguibilis servabatur, cum audisset vocem, jussit fodi locum. tunc qui mittebat quasi divinam vocem, inventus arguitur. iratus itaque rex, magorum genus usque ad decimam jussit imminui portionem. hoc facto, Maruthae dixit ut templa quae vellet aedificaret. ex hoc apud Persas sumpsit Christianismus incrementum. tunc igitur Maruthas a Persis Constantinopolim remeavit. et non longo post tempore rursum destinatus est. iterumque magi machinabantur ne eum susciperet rex. feceruntque fetorem quemdam in loco unde rex transire solebat; et quasi a Christianis id factum fuerit derogabant. cumque rex suspectos jam habens magos, hoc

cum studio requisisset, denuo ab eis concinnatum esse cognovit. quamobrem plurimos eorum suppliciis tradidit. Marutham vero potiori honore coluit, et Romanos valde dilexit, eorumque amplexus est pacem.

Agathias
(536 natus est)

(ed. Niebuhr) II, 23 s.: ὧδε . . . τὰ ἐς τὴν ταφὴν οἱ Πέρσαι νομίζουσι, ταύτῃ τε τῶν σαρκῶν ἀφαιρουμένων, γυμνὰ δὴ τὰ ὀστᾶ πύθεται σποράδην ἀνὰ τὰ πεδία περιεῤῥιμμένα. θήκῃ γάρ τινι ἐμβαλεῖν ἢ λάρνακι τοὺς τεθνεῶτας, ἢ καὶ τῇ γῇ καταχωννύναι ἥκιστα θέμις αὐτοῖς. ἐφ' ὅτῳ δὲ ἂν σώματι μὴ θᾶττον καταπταῖεν οἱ ὄρνις, ἢ οἱ κύνες οὐκ αὐτίκα ἐπιφοιτῶντες διασπαράξαιεν, τοῦτον δὴ ἡγοῦνται τὸν ἄνθρωπον βέβηλον γεγονέναι τοὺς τρόπους, καὶ τὴν ψυχὴν ἄδικον καὶ βαραθρώδη, καὶ τῷ κακῷ δαίμονι ἀνειμένην. τότε δὴ οὖν καὶ μᾶλλον οἱ ἐπιτήδειοι τὸν κείμενον ὀλοφύρονται, ὡς τελεώτατα τεθνηκότα, καὶ οὐ μετὸν αὐτῷ τῆς κρείττονος μοίρας. ὃς δὲ ἂν τάχιστα καταβρωθείη, μακαρίζουσι τῆς εὐδαιμονίας, καὶ τὴν ψυχὴν ὑπεράγανται ὡς λίαν ἀρίστην καὶ θεοείκελον καὶ ἐς τὸν τοῦ ἀγαθοῦ χῶρον ἀναβησομένην. οἱ δὲ πολλοὶ καὶ ἀσημότεροι εἴ που ἐν στρατοπέδῳ τύχοιεν νόσῳ τινὶ δυσκολωτάτῃ πεπιεσμένοι, ἔμπνοι ἔτι ἄγονται καὶ νηφάλιοι. ἐπειδὰν δέ τις οὕτως ἐκτεθείη, ἄρτου τρύφος αὐτῷ καὶ ὕδωρ καὶ βακτηρία ξυμπαράκεινται· καὶ μέχρι μὲν οἷός τε εἴη τῆς ἐδωδῆς ἀπογεύεσθαι, καί τι δυνάμεως αὐτῷ ὑπολείποιτο, ὁ δὲ ἀμύνεται ταύτῃ δὴ τῇ βακτηρίᾳ τὰ ἐπιόντα τῶν ζώων, καὶ ἀποσοβεῖ τοὺς δαιτυμόνας. εἰ δὲ οὔπω μὲν πάμπαν διαφθαρείη, νικῴη δὲ ὅμως τὰ τῆς νόσου ὡς μηκέτι κινεῖσθαι τὼ χεῖρε, τότε δὴ τὸν δείλαιον ἡμιθνῆτα καὶ ἄρτι ψυχοῤῥαγεῖν ἀρχόμενον κατεσθίουσι, καὶ προαφαιροῦνται τὴν ἐλπίδα τοῦ ἴσως ἂν καὶ περιέσεσθαι. πολλοὶ γὰρ ἤδη ἀναῤῥωσθέντες ἀπενόστησαν ἐς τὰ οἰκεῖα, καθάπερ ἐν σκηνῇ καὶ τραγῳδίᾳ ἐκ τῶν σκότου πυλῶν ἀφιγμένοι, ἰσχνοί τινες καὶ ἑτερόχρωτες καὶ οἷοι δεδίττεσθαι τοὺς ἐντυγχάνοντας. εἰ δέ τις οὕτως ἐπανήξει, ἐκτρέπονταί γε αὐτὸν ἅπαντες, καὶ ἀποφεύγουσιν ὡς ἐναγέστατον, καὶ ὑπὸ τοὺς χθονίους ἔτι τελοῦντα, καὶ οὐ πρότερόν οἱ ἐφεῖται τῶν ξυνηθῶν μεταλαχεῖν διαιτημάτων, πρὶν ὑπὸ τῶν μάγων ἀποκαθαρθείη τὸ μίασμα δῆθεν τοῦ ἐλπι-

19 ad τοῦ ἀγαθοῦ Bonaventura Vulcanius δαίμονος addendum censebat

σθέντος θανάτου, καὶ οἷον ἀνταπολάβοι τὸ αὖθις βιῶναι. καὶ εὔδηλον μὲν ὅτι δὴ τῶν ἀνθρωπείων ἐθνῶν ὡς ἕκαστοι, εἴ γε ὁτῳδηοῦν νόμῳ ἐκ πλείστου νενικηκότι ἐμβιοτεύσαιεν, τοῦτον δὴ ἄριστον ἡγοῦνται καὶ θεσπέσιον, καὶ εἴπου τι παρ' ἐκεῖνον πράττοιτο, φευκτόν τε αὐτοῖς εἶναι δοκεῖ καὶ καταγέλαστον καὶ ὁποῖον ἤδη καὶ ἀπιστεῖσθαι. ἐξεύρηνται δὲ ὅμως αἰτίαι τοῖς ἀνθρώποις καὶ λόγοι τῶν οἰκείων πέρι νόμων ἄλλοθι ἄλλοι, τυχὸν μὲν ἀληθεῖς, τυχὸν δὲ καὶ ἐς τὸ πιθανώτερον ἐσκευασμένοι. καὶ οὐδὲν οἶμαι θαυμαστόν, εἰ καὶ Πέρσαι τὰ παρὰ σφίσιν αὐτοῖς ἔθη αἰτιολογοῦντες, ἀμείνονα πειρῶνται τῶν ἑκασταχοῦ ἀποφαίνειν· ἐκεῖνο δὲ καὶ λίαν θαυμάσαιμι ἄν, ὅτι δὴ οἱ παλαίτατοι τῆς χώρας οἰκήτορες, εἶεν δ' ἂν οὗτοι Ἀσσύριοί τε καὶ Χαλδαῖοι καὶ Μῆδοι, ἀλλ' ἐκείνοις γε οὐ ταὐτὰ ἐδόκει. καὶ γὰρ ἀμφὶ Νῖνον τὴν πόλιν καὶ ἀνὰ τὴν Βαβυλωνίαν χώραν καὶ πρός γε ἐν τῇ Μηδικῇ τύμβοι τε καὶ θῆκαι τῶν πάλαι τεθνεώτων ἵδρυντο, οὐκ ἄλλον τινὰ ἢ τὸν ἡμέτερον ὑποσώζουσαι τρόπον, καὶ εἴτε σώματα, εἴτε κόνις ἦν τὸ κρυπτόμενον, ὡς δὴ ἐκείνων κατὰ τὸν παρ' Ἕλλησι νόμον πυρποληθέντων, οὐδαμῶς ὅμοιά γε ταῦτα τοῖς νῦν γιγνομένοις ἐτύγχανον ὄντα.

24. οὔκουν ἐκεῖνοί γε ὧδε ἐγίγνωσκον, οὔτε περὶ τὰς ταφάς, οὐμενοῦν ἀλλ' οὐδὲ ἐς τὴν τῆς εὐνῆς παρανομίαν ὁποῖα οἱ νῦν ἀκολασταίνουσιν, οὐ μόνον ἀδελφαῖς τε καὶ ἀδελφιδαῖς ἀνέδην μιγνύμενοι, ἀλλὰ πατέρες τε θυγατράσι, καὶ τὸ δὴ πάντων ἀνοσιώτερον, ὦ νόμοι γε καὶ φύσις! υἱοὶ ταῖς τεκούσαις. ὅτι γὰρ αὐτοῖς καὶ τοῦτο κεκαινοτόμηται, ἐκεῖθεν ἄν τις σαφέστατα διαγνοίη. λέγεται γάρ ποτε Σεμίραμιν τὴν πάνυ τὴν Ἀσσυρίαν εἰς τοῦτο ἀκρασίας ἡγμένην, ὡς Νινύᾳ τῷ παιδὶ ἐθελῆσαι ξυνελθεῖν ἐς ταὐτὸ, καὶ ἤδη πειρᾶν τὸν νεανίαν. τὸν δὲ ἀπανήνασθαι καὶ χαλεπῆναι, καὶ τελευτῶντα, ἐπειδὴ αὐτὴν ἑώρα σφαδάζουσαν καὶ ἐγκειμένην, ἀποκτεῖναί τε τὴν μητέρα, καὶ τόδε τὸ ἄγος ἀντ' ἐκείνου ἑλέσθαι. καίτοι εἰ νόμῳ ταῦτα ἐφεῖτο, οὐκ ἄν, οἶμαι, ὁ Νινύας ἐς τόδε ὠμότητος ᾔει. καὶ τί δεῖ τὰ λίαν παλαίτατα λέγειν; ὀλίγῳ γὰρ ἔμπροσθεν τῶν Μακεδονικῶν καὶ τῆς τῶν Περσῶν καταλύσεως, Ἀρταξέρξην φασὶ τὸν Δαρείου, Παρυσάτιδος τῆς μητρὸς παραπλήσια τῇ Σεμιράμιδι παθούσης, καὶ ξυγγενέσθαι οἱ ἱεμένης, ἀποκτεῖναι μὲν αὐτὴν ἥκιστα, ἐκκλῖναι δὲ ὅμως ξὺν ὀργῇ καὶ ἀποσείσασθαι, ὡς οὐχ ὅσιον ὂν τοῦτό γε, οὐδὲ πάτριον, οὐδὲ τῷ βίῳ ξυνειθισμένον. Πέρσαις δὲ τοῖς νῦν τὰ μὲν πρότερα ἔθη σχεδόν τι ἅπαντα παρεῖται ἀμέλει καὶ ἀνατέτραπται, ἀλλοίοις δέ τισι καὶ οἷον

νενοθευμένοις χρῶνται νομίμοις, ἐκ τῶν Ζωροάστρου τοῦ Ὀρμάσδεως διδαγμάτων κατακηληθέντες. οὗτος δὲ ὁ Ζωρόαστρος, ἤτοι Ζαράδης (διττὴ γὰρ ἐπ' αὐτῷ ἐπωνυμία), ὁπηνίκα μὲν ἤκμασεν τὴν ἀρχὴν, καὶ τοὺς νόμους ἔθετο, οὐκ ἔνεστι σαφῶς διαγνῶναι. Πέρσαι δὲ αὐτὸν οἱ νῦν ἐπὶ Ὑστάσπεω, οὕτω δή τι ἁπλῶς, φασὶ γεγονέναι, ὡς λίαν ἀμφιγνοεῖσθαι καὶ οὐκ εἶναι μαθεῖν, πότερον Δαρείου πατήρ, εἴτε καὶ ἄλλος οὗτος ὑπῆρχεν Ὑστάσπης. ἐφ' ὅτῳ δ' ἂν καὶ ἤνθησε χρόνῳ, ὑφηγητὴς αὐτοῖς ἐκεῖνος, καὶ καθηγεμὼν τῆς μαγικῆς γέγονεν ἁγιστείας, καὶ αὐτὰς δὴ τὰς προτέρας ἱερουργίας ἀμείψας, παμμιγεῖς τινας καὶ ποικίλας ἐνέθηκε δόξας. τὸ μὲν γὰρ παλαιὸν Δία τε καὶ Κρόνον καὶ τούτους δὴ ἅπαντας τοὺς παρ' Ἕλλησι θρυλλουμένους ἐτίμων θεοὺς, πλήν γε ὅτι δὴ αὐτοῖς ἡ προσηγορία οὐχ ὁμοίως ἐσώζετο. ἀλλὰ Βῆλον μὲν τὸν Δία τυχὸν, Σάνδην τε τὸν Ἡρακλέα, καὶ Ἀναΐτιδα τὴν Ἀφροδίτην, καὶ ἄλλως τοὺς ἄλλους ἐκάλουν, ὥς που Βηρωσσῷ τε τῷ Βαβυλωνίῳ, καὶ Ἀθηνοκλεῖ, καὶ Σιμάκῳ, τοῖς τὰ ἀρχαιότατα τῶν Ἀσσυρίων τε καὶ Μήδων ἀναγραψαμένοις, ἱστόρηται· νῦν δὲ ὡς τὰ πολλὰ τοῖς καλουμένοις Μανιχαίοις ξυμφέρονται, ἐσόσον δύο τὰς πρώτας ἡγεῖσθαι ἀρχὰς, καὶ τὴν μὲν ἀγαθήν τε ὁμα καὶ τὰ κάλλιστα τῶν ὄντων ἀποκυήσασαν, ἐναντίως δὲ κατ' ἄμφω ἔχουσαν τὴν ἑτέραν· ὀνόματά τε αὐταῖς ἐπάγουσι βαρβαρικὰ καὶ τῇ σφετέρᾳ γλώττῃ πεποιημένα. τὸν μὲν γὰρ ἀγαθὸν, εἴτε θεὸν εἴτε δημιουργόν, Ὀρμισδάτην ἀποκαλοῦσιν, Ἀριμάνης δὲ ὄνομα τῷ κακίστῳ καὶ ὀλεθρίῳ. ἑορτήν τε πασῶν μείζονα τὴν τῶν κακῶν λεγομένην ἀναίρεσιν ἐκτελοῦσιν, ἐν ᾗ τῶν τε ἑρπετῶν πλεῖστα καὶ τῶν ἄλλων ζώων ὁπόσα ἄγρια καὶ ἐρημονόμα κατακτείνοντες, τοῖς μάγοις προσάγουσιν, ὥσπερ ἐς ἐπίδειξιν εὐσεβείας. ταύτῃ γὰρ οἴονται τῷ μὲν ἀγαθῷ κεχαρισμένα διαπονεῖσθαι, ἀνιᾶν δὲ καὶ λυμαίνεσθαι τὸν Ἀριμάνην. γεραίρουσι δὲ ἐς τὰ μάλιστα τὸ ὕδωρ, ὡς μηδὲ τὰ πρόσωπα αὐτῷ ἐναπονίζεσθαι, μήτε ἄλλως ἐπιθιγγάνειν, ὅτι μὴ ποτοῦ τε ἕκατι καὶ τῆς τῶν φυτῶν ἐπιμελείας.

25. πολλοὺς δὲ καὶ ἄλλους θεοὺς ὀνομάζουσι καὶ ἱλάσκονται· τοῦτο Ἑλληνικόν. θυσίαις τε χρῶνται καὶ ἀφαγνισμοῖς καὶ μαντείαις· καὶ τοῦτο Ἑλληνικόν. τὸ δὲ πῦρ αὐτοῖς τίμιόν τε εἶναι δοκεῖ καὶ ἁγιώτατον, καὶ τοίνυν ἐν οἰκίσκοις τισὶν ἱεροῖς τε δῆθεν καὶ ἀποκεκριμένοις ἄσβε-

1 Ζοροάστρου R(ehdigeranus) 2 Ὀ ρμάσδεος R 3 Ζορόαστρος R Ζωρόαδος vulg 18. Σιμάκῳ Lugd(unensis) Σαμάκῳ R Συμμάχῳ ed. Parisina 26 Ὀρμισδάτην R Ὀρμισδάστην vulg

στον οἱ μάγοι φυλάττουσι, καὶ ἐς ἐκεῖνο ἀφορῶντες τάς τε ἀποῤῥήτους τελετὰς ἐκτελοῦσι, καὶ τῶν ἐσομένων πέρι ἀναπυνθάνονται. τοῦτο δὲ, οἶμαι, τὸ νόμιμον ἢ παρὰ Χαλδαίων ἢ ἐξ ἑτέρου του ἀνελέξαντο γένους. οὐ γὰρ δὴ τοῖς ἄλλοις ξυμβαίνει. ὧδέ πως ἄρα αὐτοῖς ἡ δόξα, ἐκ πλείστων ὅσων ἐθνῶν ἠρανισμένη, ὡς ποικιλώτατα ξύγκειται.

ib. 26. Ἀρταξάρης . . . τις τοὔνομα, Πέρσης ἀνήρ, ἄδοξος μὲν τὰ πρῶτα καὶ ἀφανέστατος, ἄλλως δὲ μεγαλουργὸς καὶ δραστήριος, καὶ δεινὸς κινῆσαι τὰ καθεστῶτα, ξυνωμότας ἀγείρας καὶ ἐπιθέμενος, Ἀρτάβανον μὲν ἀναιρεῖ τὸν βασιλέα, ἑαυτῷ δὲ περιθεὶς τὴν κίδαριν, καὶ τὴν Παρθικὴν δύναμιν καταλύσας, αὖθις τοῖς Πέρσαις τὴν σφετέραν ἀνενεώσατο βασιλείαν. ἦν δέ γε οὗτος τῇ μαγικῇ κάτοχος ἱερουργίᾳ καὶ αὐτουργὸς τῶν ἀποῤῥήτων. ταῦτά τοι καὶ τὸ μαγικὸν φῦλον ἐγκρατὲς ἐξ ἐκείνου γέγονε καὶ ἀγέρωχον, ὂν μὲν ἤδη καὶ πρότερον, καὶ ἐκ παλαιοῦ τήνδε τὴν ἐπίκλησιν ἀποσῶζον, οὔπω δὲ ἐς τοῦτο τιμῆς τε καὶ παῤῥησίας ἠρμένον, ἀλλ' ὁποῖον ὑπὸ τῶν ἐν τέλει ἐστὶν ἣ καὶ περιορᾶσθαι. δῆλον δέ· οὐ γὰρ ἂν οἱ ἀμφὶ Δαρεῖον Πέρσαι, Σμέρδιος πάλαι τοῦ μάγου μετὰ Καμβύσην τὸν Κύρου τὴν βασιλείαν ὑποσυλήσαντος, συμφορὰν ἐποιοῦντο τὸ γεγενημένον, καὶ αὐτόν τε τὸν Σμέρδιν ἀπέκτειναν, καὶ πολλοὺς τῶν ὅσοι ὁμογνώμονες ἐκείνῳ ἐτύγχανον ὄντες, ὡς οὐκ ἐξὸν τοῖς μάγοις τῷ βασιλείῳ θώκῳ ἐνωραΐζεσθαι καὶ ἱζάνειν. οὕτω δὲ αὐτοῖς οὐ μιαροὶ ἔδοξαν εἶναι οἱ φάνοι, μᾶλλον μὲν οὖν καὶ μείζονος ἄξιοι μνήμης, ὥστε ἀμέλει τὴν στάσιν ἐκείνην Μαγοφόνια ἑορτὴν ὀνομασθῆναι, καὶ θυσίας ἐπιτελεῖσθαι χαριστηρίους. νῦν δὲ τιμῶσιν αὐτοὺς ἅπαντες καὶ ὑπεράγανται, καὶ τά τε κοινὰ ταῖς τούτων βουλαῖς καὶ προαγορεύσεσι διατάττεται, καὶ ἰδίᾳ ἑκάστῳ τῶν συμβαλλόντων, ἢ δίκην λαγχάνοντι, ἐφίστανται διασκοποῦντες τὰ ποιούμενα, καὶ ἐπικρίνοντες, καὶ οὐδὲν ὁτιοῦν παρὰ Πέρσαις δόξειεν ἂν ἔννομόν τε εἶναι καὶ δίκαιον, ὅγε μὴ ὑπὸ μάγου ἐμπεδωθείη.

ib. 31: λέγεται . . . αὐτοῖς (sc. τοῖς Χοσρόου πρεσβευταῖς) κατὰ τὴν ἀποπορείαν θαυμάσιόν τι ἡλίκον καὶ μνήμης ἄξιον ξυνενεχθῆναι. καταλύσαντες γὰρ ἐν ἀγρῷ τινι Περσικῷ, ἐθεάσαντο σῶμα νεκρὸν ἀνθρώπου νεοθανοῦς, οὕτω πως ἄταφον ἐῤῥιμμένον. οἱ δὲ τὴν παρανομίαν τοῦ βαρβαρικοῦ νόμου κατελεήσαντες, καὶ οὐχ ὅσιον εἶναι ἡγούμενοι περιϊδεῖν τὸ μέρος ἀδικουμένην τὴν φύσιν, πε-

25 βασιλεῖ Lugd θώκῳ R θάκῳ vulg

ριέστειλάν τε τὸ σῶμα ὡς οἷόν τε ἦν διὰ τῶν θεραπόντων, καὶ τῇ γῇ καταχώσαντες ἔθαψαν. ὡς δὲ ἐκάθευδον ἅπαντες ἐκείνης τῆς νυκτός, ἔδοξέ τις αὐτῶν, οὐκ οἶδα δὲ ὅστις, (οὐ γὰρ ἔχω τοὔνομα φράσαι,) ἔδοξε γοῦν ὅμως ὁρᾶν κατ' ὄναρ ἄνδρα πρεσβύτην, γνώριμον μὲν οὐδαμῶς, οὐδ' ὅσον εἰκάσαι, ἄλλως δὲ σεμνὸν καὶ αἰδοῖον, καὶ φιλοσοφίαν ἀσκοῦντι ἐμφερῆ τῷ τε σχήματι τῆς στολῆς καὶ τοῦ πώγωνος τῷ λίαν ἐκκρεμεῖ καὶ ἀφειμένῳ, ἐμβοᾶν τε αὐτῷ καθάπερ ἐγκελευόμενον καὶ παραινοῦντα τόδε τὸ ἔπος·

Μὴ θάψῃς τὸν ἄθαπτον, ἔα κυσὶ κύρμα γενέσθαι.
Γῆ πάντων μήτηρ μητροφθόρον οὐ δέχετ' ἄνδρα.

ἀφυπνισθεὶς δὲ ἀθρόον ὑπὸ τοῦ δέους, ἀπήγγειλε τοῖς ἄλλοις τὸν ὄνειρον. οἱ δὲ τὸ μὲν παραυτίκα διηπόρουν, ἐς ὅ, τι ἄρα καὶ ἀποβαίη. ἐπεὶ δὲ εἰς τὸ περίορθρον ἀναστάντες ἐβάδιζον ἀνὰ τὰ πρόσω, παρέρποντες ἐκεῖνο τὸ χωρίον, οὕτω τῆς τῶν τόπων θέσεως ἀναγκαζούσης, οὗ δὴ αὐτοῖς τὰ ἐπὶ τῇ ταφῇ ἐσχεδίαστο, εὑρίσκουσι τὸν νεκρὸν γυμνὸν αὖθις ὕπερθεν κείμενον, ὡς δὴ τῆς γῆς αὐτὸν τρόπῳ τινὶ αὐτομάτῳ ἐς τοὐμφανὲς ἀναβαλούσης, καὶ διαφυλάττειν ἀβρῶτα μὴ ἀνασχομένης. καταπλαγέντες δὲ τῷ παραλόγῳ τῆς θέας, εἴχοντο τῆς πορείας, μηδὲν ὁτιοῦν τολοιπὸν ἐπ' αὐτῷ δράσαντες τῶν σφίσι νενομισμένων. ἀνελογίζοντο γὰρ τὸν ὄνειρον, καὶ ὡμολόγουν ἐντεῦθεν ὅτι δὴ οἱ Πέρσαι ποινὴν ἔχουσι καὶ τιμωρίαν τῆς ἐπὶ ταῖς μητράσιν ἀκολασίας, τὸ ἄταφοι μένειν, καὶ ὑπὸ τῶν κυνῶν ἐνδίκως διασπαράττεσθαι.

Gregorius Turonensis
(c. 538—593 vixit)

hist. Franc. (mon. Germ. hist., script. rer. Merov. I, 1) I, 5: primogenitus . . . Cham Chus. hic fuit totius artis magicae, inbuente diabolo, et primus idolatriae adinventor. hic primus staticulum adorandum diabuli instigatione constituit; qui et stellas et ignem de caelo cadere falsa vertute hominibus ostendebat. hic ad Persas transiit. hunc Persi vocitavere Zoroastren, id est viventem stelam. ab hoc etiam ignem adorare consuiti, ipsum divinitus ignem consumptum ut deum colunt.

5 κατ' ὄναρ add. R vulg 29 prius C 1 (Heidelbergensis 864) corr. Arndt 35 igne A 1 (Casinensis 275)

Euagrius Scholasticus

(post 594 mortus est)

hist. eccles. (Migne, PG LXXXVI, 2) V, 14: οὗτος (sc. Κοὺρς) . . . σὺν τοῖς ἀμφ' αὐτὸν μεγάλων χρημάτων καὶ λαφύρων ἐγκρατὴς γενόμενος, τά τε σκευοφόρα τῶν ζώων σὺν αὐτοῖς φορτίοις φέρων, ἐν οἷς καὶ τὸ Χοσρόου σεβαστὸν πῦρ, ὃ θεὸς καθειστήκει, περιελαύνει . . . τὸ Περσῶν στρατόπεδον παιανίζων.

Menander Protector

(c. 550 natus est)

exc. de leg. (ed. de Boor) p. 176, 11 s.: ἡ . . . τοῦ Περσῶν βασιλέως (ὁμολογία) γράμμασι μὲν ἐγράφη Περσικοῖς, τῇ δὲ Ἑλληνίδι φωνῇ κατὰ ταῦτα δήπουθεν ἰσχύει τὰ ῥήματα· Θεῖος, ἀγαθός, εἰρηνοπάτριος, ἀρχαῖος Χοσρόης, βασιλεὺς βασιλέων, εὐτυχής, εὐσεβής, ἀγαθοποιός, ᾧτινι οἱ θεοὶ μεγάλην τύχην καὶ μεγάλην βασιλείαν δεδώκασι, γίγας γιγάντων, ὃς ἐκ θεῶν χαρακτηρίζεται, Ἰουστινιανῷ Καίσαρι, ἀδελφῷ ἡμετέρῳ.

ib. 182, 21 s.: . . . ἐνομίσθη τὰ περὶ τῶν ἐν Περσίδι Χριστιανῶν, ὥστε καὶ νεὼς οἰκοδομεῖν καὶ ἐπιθειάζειν σφᾶς ἀδεῶς καὶ τοὺς χαριστηρίους ὕμνους, καθὰ νενόμισται ἡμῖν, ἀκωλύτως ἐπιτελεῖν, ἀλλὰ γὰρ μήτε καταναγκάζεσθαι εἰς μαγικὴν μετιέναι θρησκείαν, μήτε μὴν θεοκλυτεῖν ἀκουσίως τοὺς παρὰ Μήδοις νενομισμένους θεούς, καὶ οἱ Χριστιανοὶ δέ, ὥστε ἥκιστα καὶ οἵδε τολμῷεν μετατιθέναι μάγους ἐς τὴν καθ' ἡμᾶς δόξαν. ἐκράτησε δὲ ὥστε καὶ τοὺς θρήσκοντας τοῖς Χριστιανοῖς ἐπ' ἐξουσίας εἶναι θάπτειν ἐν τάφοις, ᾗ νενόμισται παρ' ἡμῖν.

Isidorus Hispalensis

(c. 560—636 vixit)

etymolog. (ed. Lindsay) VIII, 9, 1: magorum primus Zoroastres rex Bactrianorum, quem Ninus rex Assyriorum proelio interfecit: de quo Aristoteles scribit quod vicies centum milia versuum ab ipso condita indiciis voluminum eius declarentur.

---

10 εἰρηνοποιός (in εἰρηνοπριος corruptum)? 12 μεγάλην τύχην Niebuhr μετὰ τ. O(mnium codicum consensus) 19 εἰς uncis inclus. Hoeschel del Nie sed habet etiam Suidas v. θεοκλυτήσαντες θεοκλυτεῖν Suid θεοκλιτεῖν O 26 Bactr. fuit quem C(Leidensis)[1].

chron. (Migne, PL LXXXIII) 12: per idem tempus Ninus rex Assyriorum regnavit . . . hac aetate magica ars in Perside a Zoroaste Bactrianorum rege reperta est. a Nino rege occiditur.

Theophylactus Simocatta

(c. 610—640 scripsit)

hist. (ed. de Boor) IV, 8, 5. 175: Χοσρόης, βασιλεὺς βασιλέων, δυναστευόντων δεσπότης, κύριος ἐθνῶν, εἰρηνάρχης, τοῖς ἀνθρώποις σωτήριος, ἐν θεοῖς μὲν ἄνθρωπος ἀγαθὸς καὶ αἰώνιος, ἐν δὲ τοῖς ἀνθρώποις θεὸς ἐπιφανέστατος, ὑπερένδεξος νικητής, ἡλίῳ συνανατέλλων καὶ τῇ νυκτὶ χαριζόμενος ὄμματα . . . Βαράμ, στρατηγῷ Περσῶν, ἡμετέρῳ δὲ φίλῳ.

ib. 10, 2. 178: εἰς τὸν οὐρανὸν ἀποβλέψας καὶ τοῦ δημιουργοῦ εἰς ἔννοιαν γεγονὼς ἀγνωμονῶν τε τοὺς ἐπιπλάστους θεοὺς τῷ τε Μίθρᾳ μηδέν τι τῆς ἐλπίδος προσενεγκάμενος εἰκότως ἠμαύρωσε τὸ τῶν κινδύνων ὀξύρροπον, καὶ τὴν πίστιν μεταβαλόμενος μεταβάλλει καὶ τὴν τύχην πρὸς δεξιότητα.

ib. 16, 5. 196: δουλαγωγοῦνται γὰρ λέοντες, καὶ δράκοντες ἀποπνίγονται, καὶ Βὴλ καὶ Μίθρας ἀνδραποδίζονται.

Chronicon paschale

(post 629 scriptum est)

(Migne, PG XCII) p. 148: Πέρσαις νόμος γαμεῖν τὰς ἑαυτῶν μητέρας καὶ τὰς ἀδελφάς.

ib. 149: ἐξ αὐτοῦ . . . τοῦ γένους (sc. τοῦ Νίνου) ἐγεννήθη καὶ ὁ Ζωρόαστρος ὁ ἀστρονόμος Περσῶν ὁ περιβόητος, ὅστις μέλλων τελευτᾶν ηὔχετο ὑπὸ πυρὸς ἀναλωθῆναι οὐρανίου, εἰπὼν τοῖς Πέρσαις, ὅτι „Ἐὰν καύσῃ με τὸ πῦρ, ἐκ τῶν καιομένων μου ὀστέων ἐπάρατε καὶ φυλάξατε, καὶ οὐκ ἐκλείψει τὸ βασίλειον ἐκ τῆς ὑμῶν χώρας ὅσον χρόνον φυλάττετε τὰ ἐμὰ ὀστέα.“ καὶ εὐξάμενος τὸν Ὠρίωνα ἀπὸ πυρὸς ἀερίου ἀνηλώθη. καὶ ἐποίησαν οἱ Πέρσαι καθὼς εἶπεν αὐτοῖς καὶ ἔχουσι φυλάττοντες τὸ λείψανον αὐτοῦ τεφρωθὲν ἕως νῦν.

Nennius

(saec. 8 exunte scripsit)

hist. Britt. (Mommsen, chronica minora saec. IV. V. VI. VII., vol. III = mon. Germ. hist., auct. antiqu.

23 Ζοροάστρης P (ed. Parisina 1615)

XIII) p. 151: Britus . . . filius Silvii, filii Ascanii, filii Aeneae, filii Anchisae, filii Capen, filii Assaraci, filii Tros, filii Erechtonii, filii Dardani, filii Jovis, filii Saturni, filii Celi, filii Telluris, filii Zoroastres, filii Mesram, filii Cham, filii maledicti ridentis patrem, filii Noe.

Ecloge historiarum

(saec. 9. scripta est)

(anecdota graeca e codd. manuscriptis bibliothecae regiae Parisiensis ed. Cramer II) p. 175: τότε καὶ Νῖνος βασιλεὺς Ἀσσυρίων κτίζει πόλιν Νῖνον, καὶ ἀφ' ἑαυτοῦ τὴν προσηγορίαν ἔθετο, τὴν πάλαι κληθεῖσαν Νινευί, ἣν τὸ πάλαι ᾠκοδόμησεν ὁ Ἀσούρ· τῷ δὲ χρόνῳ φθαρεῖσα οἰκίζεται ἐν τοῖς προκειμένοις χρόνοις, καθ' οὓς Ζωρόαστρος ὁ μάγος, Βακτηρίων βασιλεὺς ἐγνωρίζετο, ἐφ' ὃν ἐστράτευσε Νῖνος, οὗ μετ' ὀλίγον Σεμίραμις Νίνῳ συνοικήσασα, τὰ τείχη μεγαλοφυῶς ἐσκευάσατο.

Georgius Syncellus

(post 810 mortuus est)

chronogr. (ed. Dindorf I) p. 147 s.: Ἀλέξανδρος ὁ Πολυίστωρ ἐκ τοῦδε τοῦ ,βυε' κοσμικοῦ ἔτους βούλεται πάλιν τὴν μετὰ τὸν κατακλυσμὸν τῶν Χαλδαίων βασιλείαν κατάρξασθαι μυθολογῶν διὰ σάρων καὶ νήρων καὶ σώσσων βεβασιλευκέναι Χαλδαίων καὶ Μήδων βασιλεῖς πϛ' ἐν τρισμυρίοις ἔτεσι καὶ, δϟ', τοῦτ' ἔστιν ἐν σάροις θ' καὶ νήροις β' καὶ σώσσοις η', ἅπερ τινὲς τῶν ἐκκλησιαστικῶν ἡμῶν ἱστορικῶν οὐ καλῶς ἐξελάβοντο πάλιν εἰς ἔτη ἡλιακὰ ϟδ' καὶ μῆνας η', ἅπερ, ὥς φασιν, εἰς τὸ, βυϟθ' ἔτος κοσμικὸν συντρέχει. ἀπὸ δὲ τούτου τοῦ χρόνου τῶν πϛ' δύο μὲν Χαλδαίων βασιλέων, Εὐηχίου καὶ Χωμασβήλου, πδ' δὲ Μήδων, Ζωροάστρην καὶ τοὺς μετ' αὐτὸν ζ' Χαλδαίων βασιλεῖς εἰσάγει, ἔτη κρατήσαντας ἡλιακὰ ρϟ', ὁ αὐτὸς Πολυίστωρ.

ib. p. 315: ὅτι . . . ἀσυμφώνως οἱ τῶν Ἑλλήνων ἱστορικοὶ γεγράφασι περὶ τῶν χρόνων καὶ τῶν βασιλέων τούτων παρέστω Κεφαλίων ἐπίσημος εἷς, οὐχ ὁ τυχών, οὕτω φάσκων „ἄρχομαι γράφειν ἀφ' ὧν ἄλλοι τε ἐμνημόνευσαν καὶ τὰ πρῶτα Ἑλλάνικός τε ὁ Λέσβιος καὶ Κτησίης ὁ Κνίδιος, ἔπειτα Ἡρόδοτος ὁ Ἁλικαρνασεύς. τὸ παλαιὸν τῆς Ἀσίας ἐβασίλευσαν Ἀσσύριοι, τῶν δὲ ὁ Βήλου Νίνος."

19 δϟ' Goar, δπ' in marg. 24 legebatur εὔηχοι οὗ.
25 ζωροάστρην B (Parisinus 1764) Ζωρόαστριν Go

εἶτ᾽ ἐπάγει γένεσιν Σεμιράμεως καὶ Ζωροάστρου μάγου ἔτη τε νβ΄ τῆς Νίνου βασιλείας.

Georgius monachus

(post 842 scripsit)

chron. (ed. de Boor) I, 4: μετὰ . . . Κρόνον ἐβασίλευσε Νίνος ὁ υἱὸς αὐτοῦ ἔτη νβ΄. ὅς γε τὴν οἰκείαν μητέρα Σεμίραμιν λαβὼν εἰς γυναῖκα, νόμος ἐγένετο Πέρσαις λαμβάνειν τὰς ἑαυτῶν μητέρας καὶ ἀδελφὰς διὰ τὸ καὶ τὸν Δία λαβεῖν τὴν ἰδίαν αὐτοῦ ἀδελφὴν Ἥραν. . . . ἐξ οὗ ἐγένετο καὶ Ζωρόαστρος ὁ περιβόητος Περσῶν ἀστρονόμος. ὃς μέλλων τελευτᾶν ηὔχετο ὑπὸ οὐρανίου πυρὸς ἀναλωθῆναι, εἰπὼν τοῖς Πέρσαις· ἐὰν καὶ καύσῃ με τὸ πῦρ, ἐκ τῶν καιομένων μου ὀστέων λάβετε καὶ φυλάξατε, καὶ οὐκ ἐκλείψει τὸ βασίλειον ἐκ τῆς χώρας ὑμῶν, ὅπως φυλάττεται τὰ ὀστᾶ μου. καὶ εὐξάμενος τῷ Ὠρίωνι ὑπὸ ἀερίου πυρὸς ἀνηλώθη. καὶ λαβόντες οἱ Πέρσαι ἐκ τῶν τεφρωθέντων ὀστέων ἔχουσι φυλάττοντες ἕως ἄρτι.

Rabanus Maurus

(856 mortuus est)

de universo (Migne, PL CXI) 15, 4: Magorum primus Zoroastes, rex Bactrianorum, quem nimis [Ninus], rex Assyriorum, praelio interfecit. de quo Aristoteles scribit, quod vicies centum millia versuum ab ipso condita indiciis voluminum eius declarentur.

Hincmarus Rhemensis

(c. 806—882 vixit)

de divortio Lotharii et Tetbergae interr. (Migne, PL CXXV) 15: haec autem vanitas magicarum artium ex traditione angelorum malorum in toto terrarum orbe, auctore Zoroastre rege Bactrianorum, quem Ninus rex Assyriorum proelio interfecit, et propagatore Democrito, plurimis saeculis valuit.

Photius

(Constantinopolis patriarcha 856—867 necnon 878—886 fuit.)

bibl. (Migne, PG CIII) 72, 1: ἀνεγνώσθη βιβλίον Κτησίου τοῦ Κνιδίου τὰ Περσικὰ ἐν βιβλίοις κγ΄.

1 Ζωροαστρουβάτου A (Parisinus 1711) Ζοραστρουβάτου B Ζωροάστρου βάτου Go Ζωροάστρου μάγου Scaliger 2 ἔτει Sca ἔτη τε vulgo. 8 Ζορόαστρος F (Vindobonensis hist. gr. 65) P (Coislinianus 305)

ib. 9: οὗτος (sc. Καμβύσης) βασιλεύσας ἀπέστειλε τὸν τοῦ πατρὸς νεκρὸν διὰ Βαγαπάτου τοῦ εὐνούχου εἰς Πέρσας ταφῆναι.

ib. 15: βασιλεύει . . . τῶν ἑπτὰ ὁ Δαρεῖος, τοῦ ἵππου, καθὰ συνέκειτο ἀλλήλοις, πρώτου μηχανῇ τινι καὶ τέχνῃ, ἐπειδὴ ὁ ἥλιος πρὸς ἀνατολὰς ἐγένετο, χρημετίσαντος. ἄγεται τοῖς Πέρσαις ἑορτὴ τῆς μαγοφονίας, καθ' ἣν Σφενδαδάτης ὁ μάγος ἀνῄρηται. Δαρεῖος προστάσσει τάφον ἑαυτῷ κακασκευασθῆναι ἐν τῷ δισσῷ ὄρει, καὶ κακασκευάζεται.

ib. 17: Δαρεῖος . . . τὴν γέφυραν διαβὰς Χαλκηδονίων οἰκίας καὶ ἱερὰ ἐνέπρησεν, ἐπεὶ τὰς πρὸς αὐτοῖς γεφύρας ἐμελέτησαν λῦσαι, καὶ ὅτι τὸν βωμὸν ὃν περῶν Δαρεῖος κατέθετο ἐπ' ὀνόματι διαβατηρίου Διός, ἠφάνισαν.

ib. 21: ὁ . . . Ξέρξης στρατεύει ἐπὶ τοὺς Ἕλληνας, ὅτι τε Χαλκηδόνιοι λῦσαι τὴν γέφυραν, ὡς ἤδη εἴρηται, ἐπειράθησαν, καὶ ὅτι τὸν βωμὸν ὃν ἔστησε Δαρεῖος καθεῖλον.

ib. 54: ἦν . . . ὁμοπατρία αὐτῷ (sc. τῷ Τεριτούχμῃ) ἀδελφὴ Ῥωξάνη, καλὴ τῷ εἴδει καὶ τοξεύειν καὶ ἀκοντίζειν ἐμπειροτάτη. ἐρῶν δὲ ταύτης ὁ Τεριτούχμης καὶ συγγινόμενος ἐμίσει Ἀμῆστριν κτλ.

ib. 57: περὶ τοῦ θάψαντος τὸν πατέρα (sc. τοῦ Ἀρτοξέρξου) διὰ τοῦ πυρὸς παρὰ τὸν νόμον· ἐξ οὗ καὶ ἔλεγχος Ἑλλανίκου καὶ Ἡροδότου, ὡς ψεύδονται.

ib. 59: ὡς Παρύσατις εἰς Βαβυλῶνα ἀφίκετο, πενθοῦσα Κῦρον, καὶ μόλις ἐκομίσατο τὴν κεφαλὴν αὐτοῦ καὶ τὴν χεῖρα, καὶ ἔθαψεν, καὶ ἀπέστειλεν εἰς Σοῦσα.

ib. 81: ἀνεγνώσθη βιβλιδάριον * Θεοδώρου Περὶ τῆς ἐν Περσίδι μαγικῆς, καὶ τίς ἡ τῆς εὐσεβείας διαφορά, ἐν λόγοις τρισί. . . . καὶ ἐν μὲν τῷ πρώτω λόγῳ προστίθεται τὸ μιαρὸν Περσῶν δόγμα, ὃ Ζαράδης εἰσηγήσατο, ἤτοι περὶ τοῦ Ζουρουάμ, ὃν ἀρχηγὸν πάντων εἰσάγει, ὃν καὶ Τύχην καλεῖ· καὶ ὅτι σπένδων, ἵνα τέκῃ τὸν Ὁρμίσδαν, ἔτεκεν ἐκεῖνον καὶ τὸν Σατανᾶν. καὶ περὶ τῆς αὐτῶν αἱμομιξίας. καὶ ἁπλῶς τὸ δυσσεβὲς καὶ ὑπέραισχρον δόγμα κατὰ λέξιν ἐκθεὶς ἀνασκευάζει ἐν τῷ πρώτῳ λόγῳ.

31 ἐκτίθεται ς 32 Ζασράδης ς 33 Ζαρουάμ ς 35 τῆς αὐτῆς αὐτῶν ς.

Menologium Graecorum

(867—888 scriptum est)

(ed. Albani) III p. 44: ἡ τοῦ Χριστοῦ Μάρτυς Φερβούθη μετὰ τὴν ἄθλησιν καὶ τελείωσιν τοῦ ἀδελφοῦ αὐτῆς Συμεὼν τοῦ Ἐπισκόπου, ἐν οἰκήματι ἡσυχάζουσα μετὰ τῆς ἀδελφῆς, καὶ τῆς δούλης αὐτῆς, ἐδίδασκε τοὺς προσερχομένους αὐτῇ τὴν εἰς Χριστὸν πίστιν ἐφθόνουν δὲ οἱ Ἰουδαῖοι, καὶ εὑρόντες πρόφασιν, ἐφόνευσαν αὐτὰς τρόπῳ τοιούτῳ. ἡ τοῦ βασιλέως τῶν Περσῶν Σαβωρίου γυνὴ περιεποιεῖτο τοὺς Ἰουδαίους. ἐπεὶ δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον ἠσθένησε, προσῆλθον αὐτῇ, καὶ διέβαλεν τὰς ἁγίας, εἰπόντες οὕτως; ὅτι διὰ τὸ φονευθῆναι παρὰ τοῦ ἀνδρός σου τὸν Ἐπίσκοπον Συμεῶνα, αἱ ἀδελφαὶ αὐτοῦ κατειργάσαντό σε διὰ μαγείας, ὅπως ἀποθάνῃς. ἀλλὰ εἰ βούλει ὑγιᾶναι, πρόσταξον, καὶ χισθήτωσαν μέσον, καὶ κρεμασθήτωσαν τὰ διχοτομήματα αὐτῶν, καὶ δίελθε μέσον, καὶ ὑγιανεῖς. καὶ τούτου γενομένου, αἱ μὲν ἅγιαι ἀπέλαβον τὴν βασιλείαν τῶν οὐρανῶν· ἡ δὲ βασίλισσα πρὸς τὸ μὴ ὑγιᾶναι, ἐκληρονόμησε καὶ τὴν γεεννᾶν.

Suidas

(saec. 10. scripsit)

lex. (ed. Bekker): Ζωροάστρης Περσόμηδος σοφός, ὃς καὶ πρῶτος ἦρξε τοῦ παρ' αὐτοῖς πολιτευομένου ὀνόματος τῶν Μάγων. ἐγίνετο δὲ πρὸ τῶν Τρωικῶν ἔτεσι φ'. φέρεται δὲ αὐτοῦ περὶ φύσεως βιβλία δ', περὶ λίθων τιμίων ἕν, ἀστεροσκοπικά, ἀποτελεσματικὰ βιβλία ε'.

Ζωροάστρης ἀστρονόμος ἐπὶ Νίνου βασιλέως Ἀσσυρίων, ὅστις ηὔξατο ὑπὸ πυρὸς οὐρανίου τελευτῆσαι, παρεγγυήσας τοῖς Ἀσσυρίοις τὴν τέφραν αὐτοῦ φυλάττειν· οὕτω γὰρ αὐτοῖς ἡ βασιλεία οὐκ ἐκλείψει διὰ παντός. ὅπερ μέχρι νῦν πεφύλακται παρ' αὐτοῖς.

Ζωρομάσδρης Χαλδαῖος σοφὸς ἔγραψε μαθηματικὰ καὶ φυσικά.

Μάγοι. παρὰ Πέρσαις οἱ φιλόσοφοι καὶ φιλόθεοι, ὧν ἦρχε Ζωροάστρης, καὶ μετὰ τοῦτον κατὰ διαδοχὴν Ὀστάναι καὶ Ἀστράμψυχοι.

Πυθαγόρας Σάμιος . . . ἤκουσε πρῶτον Φερεκύδου τοῦ Συρίου ἐν Σάμῳ, εἶτα Ἑρμοδάμαντος ἐν τῇ αὐτῇ Σάμῳ, . . . εἶτα Ἀβάριδος τοῦ Ὑπερβορέου καὶ Ζάρητος τοῦ μάγου.

Geoponica

(eodem tempore scripta sunt)

(rec. Beckh) I, 7: ὅτι ἀναγκαῖόν ἐστιν εἰδέναι, πότε ἡ σελήνη γίνεται ὑπὲρ γῆν, πότε δὲ ὑπὸ γῆν. Ζωροάστρου κτλ.

ib. 8: περὶ τῆς τοῦ κυνὸς ἐπιτολῆς καὶ τῆς προγνώσεως τῶν ἐξ αὐτῆς συμβαινόντων. τοῦ αὐτοῦ κτλ.

ib. 10: σημείωσις τῶν ἀποτελουμένων ἐκ τῆς πρώτης βροντῆς καθ' ἕκαστον ἔτος, μετὰ τὴν τοῦ κυνὸς ἐπιτολήν. Ζωροάστρου κτλ.

ib. 12: δωδεκαετηρὶς τοῦ Διός, καὶ ὅσα ἀποτελεῖ περιπολεύων τοὺς δώδεκα οἴκους τοῦ ζωδιακοῦ κύκλου. Ζωροάστρου κτλ.

ib. II, 15: προγνωστικόν, ὥστε εἰδέναι, ποῖα τῶν σπειρομένων γενήσονται εὐθαλῆ. Ζωροάστρου κτλ.

ib. V, 46: ἐν ποίῳ οἴκῳ οὔσης τῆς σελήνης χρὴ τρυγᾶν, καὶ ὅτι ληγούσης αὐτῆς καὶ ὑπογείου οὔσης τὸν τρυγητὸν δεῖ ποιεῖν. Ζωροάστρου κτλ.

ib. VII, 5: περὶ ἀνοίξεως πίθων, καὶ τί χρὴ παραφυλάττεσθαι τῷ καιρῷ τῆς τούτων ἀνοίξεως. Ζωροάστρου κτλ.

ib. 6: περὶ μεταγγισμοῦ οἴνου, καὶ πότε χρὴ μεταντλεῖν τοὺς οἴνους, καὶ ὅτι διαφορὰν ἔχει ὁ ἐν τῷ αὐτῷ πίθῳ ἐμβεβλημένος οἶνος. τοῦ αὐτοῦ κτλ.

ib. 11: ὥστε ὑπὸ βροντῶν καὶ ἀστραπῶν μὴ τρέπεσθαι τοὺς οἴνους. Ζωροάστρου κτλ.

ib. X, 83: δένδρον ἄκαρπον καρποφορεῖν. Ζωροάστρου κτλ.

ib. XI, 18, 11: Ζωροάστρης δὲ λέγει, ἐπὶ ἐνιαυτὸν ἕνα μὴ ἀλγεῖν τοὺς ὀφθαλμούς, τὸν ἐν πρώτοις ἰδόντα ἐπὶ τοῦ φυτοῦ μεμυκυίας κάλυκας, καὶ τρισὶν ἐξ αὐτῶν ἀπομαξάμενον τὰ ὄμματα, καὶ ἐπὶ τοῦ φυτοῦ τὰ ῥόδα καταλιπόντα.

ib. XIII, 9, 10: Ζωροάστρης φησί, τῆς θρίδακος τὸ σπέρμα μετὰ οἴνου ποθὲν ἰᾶται τοὺς σκορπιοδήκτους.

ib. 16: περὶ κανθαρίδων. Ζωροάστρου κτλ.

ib. XV, 1: περὶ φυσικῶν συμπαθειῶν καὶ ἀντιπαθειῶν. Ζωροάστρου κτλ.

Constantinus Cephalas

(917 protopapas palatii regii fuit)

anthol. pal. (ed. Stadtmüller) VII, 162:

Εὐφράτην μὴ καῖε, Φιλώνυμε, μηδὲ μιήνῃς
πῦρ ἐπ' ἐμοί· — Πέρσης εἰμὶ καὶ ἐκ πατέρων,
Πέρσης αὐθιγενής, ναὶ δέσποτα· πῦρ δὲ μιῆναι
ἡμῖν τοῦ χαλεποῦ πικρότερον θανάτου· —
ἀλλὰ περιστείλας με δίδου χθονί. μηδ' ἐπὶ νεκρῷ
λουτρὰ χέῃς· σέβομαι, δέσποτα, καὶ ποταμούς.

Eutychius

(940 mortuus est)

ann. (Migne, PG CXI) 261—263: Samardius . . . magus cognominatus est quod ipsius tempore floruerit Persa quidam nomine Zoradasht, qui magorum religionem condidit aedibus igni dedicatis.

Hugo a S. Victore

(c. 1097—1141 vixit)

adnotat. elucidat. in pentateuch. (Migne, PL CLXXV), in gen. 11: Assur . . ., recedens in terram quae postea ab ipso dicta est Assyria, multiplicatus est usque ad regem Ninum, qui ab eius progenie ortus est. hic condidit civitatem, et vicit Cham in bello, qui usque ad illud tempus vixerat: factus rex Bactriae Nino vicinus, et vocatus Zoroastres inventor, et auctor maleficae mathematicae artis.

Eustathius

(saec. 12 vixit)

ad Iliad. (ed. Lipsiensis) 14, 731: ὀρχηστὺν . . . λέγει ἂν τὴν ἐπαινουμένην, ὁποία καὶ ἡ τῶν Περσῶν, περὶ ὧν ἱστορεῖται ὅτι Πέρσαι ὥςπερ ἱππεύειν, οὕτω καὶ ὀρχεῖσθαι ἐμάνθανον, νομίζοντες ἐντεῦθεν ἐμμελῆ τινὰ λαμβάνειν γυμνασίαν τῆς τοῦ σώματος ῥώμης. λέγονται δὲ καὶ παρὰ βασιλεῖ Ἀντιόχῳ τῷ ἐπικληθέντι Μεγάλῳ ἐν τῷ δείπνῳ πρὸς ὅπλα ὀρχεῖσθαι οὐ μόνον οἱ βασιλέως φίλοι, ἀλλὰ καὶ αὐτὸς ὁ βασιλεύς.

ad Odyss. (ed. Lipsiensis) 18, 3: παρὰ . . . Πέρσαις, ὥς φησι Δοῦρις, ἐφίεται τῷ βασιλεῖ μεθύσκεσθαι ἡμέρᾳ μιᾷ, ἐν ᾗ τῷ Μίθρᾳ ἔθυον, ὅτε καὶ τὸ Περσικὸν ὠρχεῖτο· τῶν δὲ λοιπῶν οὐδεὶς τηνικαῦτα. εἰ δὲ ὁ Πέρσης

Δαρεῖος, ὁ τοὺς μάγους ἀνελών, ἐπιγεγραμμένον εἶχε τῷ αὐτοῦ μνήματι τό, ἠδυνάμην καὶ οἶνον πίνειν πολὺν καὶ τοῦτον φέρειν καλῶς, πολυπότης μὲν ἂν εἴη, μέθυσος δὲ οὔ.

Georgius Cedrenus

(eodem tempore vixit)

hist. comp. (ed. Bekker) I p. 29 s.: ἐκ τοῦ γένους ... αὐτοῦ (sc. Νίνου) καὶ Ζωροάστρης ὁ περιβόητος ἀστρονόμος ἐν Πέρσαις γενόμενος ηὔξατο ὑπὸ πυρὸς ἀερίου κεραυνωθῆναι καὶ ἀναλωθῆναι, ἐντειλάμενος τοῖς Πέρσαις τὰ ὀστᾶ αὐτοῦ μετὰ τὴν καῦσιν ἀναλαβεῖν καὶ φυλάττειν αὐτοὺς καὶ τιμᾶν· καὶ ἕως οὗ, φησί, σώσεσθε ταῦτα, τὸ βασίλειον τῆς ὑμῶν χώρας οὐκ ἐκλείψει οὕτως οὖν τούτου πυρὶ οὐρανίῳ τεφρωθέντος τὰ λείψανα αὐτοῦ διὰ τιμῆς εἶχον οἱ Πέρσαι, ἕως τούτου καταφρονήσαντες καὶ τῆς βασιλείας ἐξέπεσον.

Joannes Tzetzes

(eodem tempore vixit)

hist. var. chil. (ed. Kiessling) 66, 39 s.:

Χοσρόης ἄναξ ἦν Περσῶν ἐν χρόνοις Ἡρακλείου
τοῖς ἀνακτόροις τοῖς αὐτοῦ τοῖς περὶ τὴν Περσίδα
ἐν τοῖς ὀρόφοις οὐρανὸν ἔχων τεχνιτευθέντα,
ἐξ οὗ βρονταὶ καὶ κεραυνοὶ μηχανητοὶ καὶ ὄμβροι,
ἑστιωμένων πρέσβεων, ἐρρήγνυντο πρὸς θάμβος.
ἑπτὰ δὲ χρόνοις πολεμῶν Ἡράκλειος τοῖς Πέρσαις,
σκάπτων Περσίδα σύμπασαν καὶ πυρπολῶν καὶ καίων,
καὶ τὸν πυρφόρον οὐρανὸν κατέκαυσεν ἐκεῖνον
σὺν τοῖς Χοσρόου σύμπασιν οἷς εἶπον ἀνακτόροις,
καὶ πῦρ Περσῶν κατέσβεσεν, ὅπερ εἰς σέβας εἶχον,
ἐκ κεραυνοῦ μὲν ἀναφθὲν ὑπὸ Πέρσεως πάλαι,
λυχνοκαΐας δὲ πυρσοῖς τοῖς ἀειδιαδόχοις
καὶ συνεχέσι δὲ πυῤῥαῖς, μεγάλαις, λαβροτάταις,
ἐπιμελῶς τηρούμενον μέχρι τοῦ τότε χρόνου,
ὑφ' Ἡρακλείου δὲ σβεσθέν, μέγα πένθος Περσίδι κτλ.

Scholia in Nicandri Theriaca

(eodem tempore scripta sunt)

(Schneider, Nicandrea) 613: μάγοι . . . καὶ Σκύθαι μυρικίνῳ μαντεύονται. Δίνων δὲ καὶ ἐν τῷ πρώτῳ τῆς τρίτης συντάξεως καὶ τοὺς μάντεις φησὶ Μήδους ῥάβδοις

9 αὐτά? 30 μαντεύονται ξύλῳ. καὶ γὰρ ἐν πολλοῖς τόποις ῥάβδοις μαντεύονται, δίων δὲ — μαντεύεσθαι A(ldina ed.)

μαντεύεσθαι . . . καὶ Μητρόδωρος ἐν τῷ περὶ συνηθείας ἀρχαιότατον εἶναί φησι φυτὸν τὴν μυρίκην καὶ τοὺς Αἰγυπτίους ἐν τῇ τοῦ Διὸς πομπῇ ἐστεφανῶσθαι μυρίκῃ, καὶ παρὰ Μήδοις τοὺς μάγους.

Joannes Antiochenus

(medio saec. 12 vixit)

exc. Salmas. (Mueller, fragm. hist. graec. IV) 386: Νῖνος . . . ἔγημεν Ῥέαν τὴν [καὶ] Σεμίραμιν, τὴν οἰκείαν μητέρα· ἐξ οὗ ὁ νόμος παρὰ Πέρσαις γαμεῖν τὰς μητέρας. τότε ἐφάνη καὶ Ζωροάστρης ὁ ἀστρονόμος, ὅστις ηὔξατο ὑπὸ πυρὸς οὐρανίου τελευτῆσαι, εἰπὼν Ἀσσυρίοις τὴν ἑαυτοῦ τέφραν τηρεῖν· οὕτω γὰρ αὐτῶν τὴν βασιλείαν μὴ ἐκλείπειν.

Petrus Comestor

(c. 1170 scripsit)

hist. schol. (Migne, PL CXCVIII), liber gen. c. 39: Ninus vicit Cham, qui adhuc vivebat, et regnabat in Bractia [al. Thracia], et dicebatur Zoroastres inventor magicae artis, qui et septem liberales artes, in quatuordecim columnis scripsit, septem aeneis, et septem lateritiis, contra utrumque judicium [al. diluvium].

ib. c. 47: Abram peritus astrorum, in quibus etiam secundum quosdam Zoroastren magicae artis inventorem instituit, noverat quod intemperies aeris, quae fit ex elevatis, vel depressis planetis, semper usque ad quinquaginta annos ad temperiem redeunt, et quod vidit fieri in astris voluit imitari in terris.

Michael Glycas

(saec. 12 exeunte scripsit)

ann. (ed. Bekker) p. 2, 43 s.: μετὰ . . . Κρόνον ἐβασίλευσε Νῖνος ἔτη νβ', ὅς γε τὴν οἰκείαν μητέρα Σεμίραμιν λαβὼν εἰς γυναῖκα, νόμος ἐγένετο Πέρσαις λαμβάνειν τὰς ἑαυτῶν μητέρας καὶ ἀδελφάς. ἐξ οὗ γένους ἐγένετο καὶ Ζωρόαστρος ὁ περιβόητος Περσῶν ἀστρονόμος, ὃς εἶπε τοῖς Πέρσαις, „ἐὰν καύσῃ με τὸ οὐράνιον πῦρ“, (τοῦτο γὰρ καὶ ηὔχετο) „λάβετε ἐκ τῶν ὀστέων μου, καὶ φυλάσσετε εἰς σύστασιν τῆς βασιλείας ὑμῶν“. ὃ δὴ καὶ γέγονεν. ἐν δὲ ταῖς ἱστορίαις αἷς ἐχρήσατο κατὰ Ἰουλιανοῦ ὁ θεολόγος μέγας Γρηγόριος καὶ τάδε φησί. τὴν ἀστρονομίαν λέγονται πρῶτον εὑρηκέναι Βαβυλώνιοι διὰ Ζωροάστρου,

δεύτερον δὲ ἐδέξαντο οἱ Αἰγύπτιοι. τὴν δὲ μαγείαν εὗρον Μῆδοι, εἶτα Πέρσαι. διαφέρει δὲ μαγεία γοητείας. καὶ ἡ μὲν μαγεία ἐπίκλησίς ἐστιν, ὥς φασιν, δαιμόνων ἀγαθοποιῶν πρὸς ἀγαθοῦ τινὸς σύστασιν· γοητεία δέ ἐστιν δαιμόνων κακοποιῶν περὶ τοὺς τάφους εἱλουμένων ἐπὶ κακοῦ τινὸς σύστασιν. γοητεία δὲ ἤκουσεν ἀπὸ τῶν γοῶν καὶ τῶν θρήνων τῶν ἐν τοῖς τάφοις γινομένων, μαγεία δὲ ἀπὸ Μαγουσαίων ἤτοι Περσῶν, ὅθεν ἔσχε καὶ τὴν ἀρχήν· Μαγὼς ἐγχωρίως οἱ Πέρσαι λέγονται.

Nicephorus Callisti

(c. 1320 scripsit)

eccles. hist. (Migne, PG CXLVI) XIV, 18: περιφανῶς ὁ Πέρσης (sc. Ἰσδιγέρδης) διὰ πολλῆς ἦγε τιμῆς Μαρουθᾶν . . . οἱ δὲ Μάγοι τοσαύτην ὁρῶντες τιμὴν περὶ τὸν Ῥωμαίων ἐπίσκοπον . . ., καθ᾽ ἑαυτοὺς ὑπεκνίζοντο, καὶ ἀνωμάλως εἶχον τῶν λογισμῶν, δεδοικότες μὴ τῇ πρὸς ἐκεῖνον στοργῇ καὶ τὸ ἐκείνου σέβας ἀστάσηται. καὶ γὰρ καὶ κεφαλῆς ἄλγος χρόνιον καὶ δεινῶς πιέζον Ἰσδιγέρδην, Μαρουθᾶς εὐχαῖς τὸ θεῖον ἐκδυσωπῶν, εὐθὺς ἐθεράπευεν· ὃ Μάγοι πάντα πράξαντες ἀπηγόρευον. ἀπάτῃ γοῦν μετελθεῖν ἐπειρῶντο τὸν βασιλέα. ἐπεὶ γοῦν οἱ Πέρσαι τὸ πῦρ ὡς ἐπίπαν λατρεύουσι, καὶ μάγους ἐκείνους καλοῦσιν οἳ τὰ στοιχεῖα μᾶλλον θεοποιοῦσιν· εἰωθὸς δ᾽ ἦν βασιλεῖ τὸ διηνεκῶς καιόμενον πῦρ προσκυνεῖν, ἄνδρα τινὰ ὑπὸ γῆν κατορύξαντες, ᾧ εἰώθει ἐκεῖνος καιρῷ ἔρχεσθαι, φθέγγεσθαι παρηγγύων οἱ μάγοι· „ἔξω θυρῶν τὸν βασιλέα χρῆναι γενέσθαι, ἀσεβῆ γὰρ τῷ θείῳ κρίνεσθαι, ὅτιπερ οἷα θεοφιλῆ τὸν ἱερέα Χριστιανῶν νομίζων διαφερόντως φιλοίη". ὃ δῆτ᾽ ἀκούσας ὁ Πέρσης, ἐβουλεύετο τὸν Μαρουθᾶν, αἰδοῖ μέν, ὅμως δ᾽ οὖν ἀφ᾽ ἑαυτοῦ βάλλειν. ὁ δὲ Μαρουθᾶς τῷ πρὸς θεὸν φίλτρῳ ταῖς εὐχαῖς μάλα προσκείμενος, ῥᾳδίως ἐμυεῖτο ὅθεν ὁ δόλος τοῖς Πέρσαις ἐγένετο· καὶ προσιὼν Ἰσδιγέρδῃ, „μὴ οὕτω παίζου, φησί, βασιλεῦ· ἀλλ᾽ εἰσιών, ὅτε σοι προσυπαντῆσαι τὴν φωνὴν αἴσθοιο, ὑπορύξαι κάτωθεν κέλευε· καὶ ὁ δόλος πρόχειρος ἔσται φαινόμενος. τὸ γὰρ πῦρ φθέγγεσθαι οὐδαμῶς ἔστι· πῶς γάρ, ἄψυχον ὄν; ἀλλ᾽ ἀνθρωπίνη τέχνη τοῦτο δραματουργεῖ." πείθεται τοῖς ῥήμασιν Ἰσδιγέρδης. ἐπεὶ δὲ καὶ αὖθις εἰς τὸν οἰκίσκον εἰσῄει, ἔνθα τὸ ἄσβεστον πῦρ ἐφρουρεῖτο, καὶ τῆς ἴσης μετειλήχει φωνῆς, αὐτίκα τὸν τόπον ὀρύττειν ἐκέλευε· καὶ ὁ κάτωθεν θεὸς εἶναι ὑποκρινόμενος ἄνθρωπος εἶναι ἠλέγχετο. περιοργὴς οὖν γενόμενος διὰ τοῦτο ὁ Πέρσης,

τὸ τῶν μάγων γένος ἀπεδεκάτωσεν. οὗ γενομένου, Μαρουθᾷ ἐνετέλλετο, ὅποι δὴ βουλομένῳ εἴη τῆς Περσῶν γῆς, ἐκκλησίαν ἐξανιστᾷν. κἀντεῦθεν ὁ Χριστιανισμὸς καθημέραν ὡς εἰπεῖν καὶ παρὰ τοῖς Περσῶν ὁρίοις ἀδεῶς ἐπλατύνετο. καὶ ὁ μὲν Μαρουθᾶς, τότε μὲν τῆς πρεσβείας οἱ τελεσθείσης ἐφ' ᾧ παρεγένετο, ἐπὶ τὴν Κωνσταντίνου ὑπέστρεφε· δεῆσαν δὲ πάλιν ἐλθεῖν, ἀντεπέμπετο πρεσβείαν πράττων. οἱ δὲ μάγοι αὖθις τὰ ἴσα σκευωροῦντες ἦσαν, οἰκονομοῦντες ὡς ἂν μὴ ἐπίσης αὐτῷ χρῷτο ὁ βασιλεύς, ὅσα γε τὰ ἐς τιμήν. καὶ δὴ μηχανῇ τινι ἀφόρητόν τινα δυσοδμίαν ἐνήργουν, ὅθεν εἰωθὸς ἦν ἐκείνῳ διέρχεσθαι. καὶ συῤῥάπτοντες ἐν διαβολαῖς ἦσαν, ὡς ἄρα ταύτην οἱ τῷ ἱερεῖ Χριστιανῶν συνόντες ἐποίουν. ἐν ὑποψίᾳ δὲ ὢν ὁ κρατῶν τοῖς φθάσασι καὶ ταύτην τοὺς μάγους ῥᾳδιουργῆσαι, σπουδῇ τῇ πάσῃ τοὺς αὐθέντας τῆς πράξεως ἀνισχεύων ἠρεύνα. ὡς δ' ἐξ ἐκείνων καὶ αὖθις οἱ δραματουργοὶ τῆς κακίστης ὀδμῆς ἐγνωρίζοντο, πολλοὺς τῶν μάγων καὶ αὖθις τιμωρίαις ὑπῆγε· τὸν δὲ Μαρουθᾶν καὶ ἐν μείζονι ἀνῆγε τιμῇ.

INDEX AUCTORUM ALPHABETICUS.